HYPERIDIS

ORATIONES

SCRIPTORUM CLASSICORUM

BIBLIOTHECA OXONIENSIS



OXONII
E TYPOGRAPHEO CLARENDONIANO
LONDINI ET NOVI EBORACI
APUD HENRICUM FROWDE

HYPERIDIS

ORATIONES ET FRAGMENTA

RECOGNOVIT BREVIQVE ADNOTATIONE CRITICA INSTRVXIT

F. G. KENYON

COLLEGIORVM B. V. M. WINTON. PROPE WINTON.
ET BEATAE MARIAE MAGDALENAE IN VNIV. OXON. SOCIVS

OXONII
E TYPOGRAPHEO CLARENDONIANO



OXONII
Excudebat Horatius Hart
Typographus academicus

PRAEFATIO

HYPERIDEM totum, qualis hodie inter nos exstat, Aegypto debemus. Cum enim codices illi qui vel in decimo sexto p. C. saeculo in bibliothecis Matthaei Corvini ac Pauli Bornemizae nominati sunt nunc plane interierint, nova spes orationum eius recuperandarum ex harenis Aegyptiacis effulsit, unde inter sexaginta annos sex orationes, vel orationum partes, nobis optantibus redditae sunt.

Orationes istae rotulis quattuor papyraceis continentur, quorum nomina atque fortunas breviter hic exponere oportet.

𝔄. Ardenianus, cuius partes nunc in Museo Britannico papyri 108 et 115 nominatae sunt, quippe quae fata diversa perpessae sint. Prima enim rotuli pars, in qua scripta erat oratio in Demosthenem et initium orationis pro Lycophrone habitae, iam valde dilacerata in manus A. C. Harris venit, atque ab eodem ectypi ope publici iuris anno p. C. 1848 facta est, unde textum fragmentorum separatim ediderunt Boeckh (1848), Sauppe (1848), Babington (1850), postque eos alii nonnulli. Pars autem rotuli altera, quae finem orationis Lycophroneae integramque Euxenippeam habet, a Iosepho Arden empta est, qui eam viro reverendo Churchill Babington edendam tradidit. Huius editio princeps anno 1853 comparuit ; post eum recognovit Caesar, Cobet, Comparetti, alii. Rotulus primi p. C. saeculi exeuntis esse videtur, satis nitide scriptus, lectu facilis, nisi ubi lacerato papyro litterae totae partesve litterarum perierunt, fidei, quantum aestimari potest, bonae. Fragmenta nonnulla, quae retinuerant Arabes, in rotulis ficticiis composita, qui

viatorum nummos captarent, hoc modo post aliquot annos in Europam venerunt; quorum tredecim Parisiis in museo quod le Louvre nuncupatur servata, ab Eggero edita sunt (1868[1]); sex in bibliotheca scholae apud Rossall in Anglia conservantur, a me anno 1898 edita[2]; quattuor in rotulo ficticio ab O. C. Raphael reperto conglutinata, a me agnita, in editione Blassiana tertia (1894) publici iuris facta, ab eo qui invenerat Museo Britannico tradita sunt.

𝔏. Londinensis (Mus. Brit. Pap. 134) orationem in Philippidem, qualis nunc exstat, novem scilicet columnas postremas cum multis fragmentis etiam partis prioris continet. Textus a me primo editus est, in libro qui *Classical Texts from Papyri in the British Museum* nuncupatur (1891); ediderunt postea Weil, Herwerden, Blass (bis), ego iterum. Rotulus, ut videtur, primi ante Christum natum saeculi est, belle scriptus, fidei bonae. In eodem rotulo scripta est epistola Demosthenis tertia, sed alia manu.

𝔓. Parisinus, apud museum le Louvre conservatus. Continet orationis in Athenogenem prioris partem magnam, bene scriptam, saeculi a. C. alterius, ut videtur. Ectypum totius rotuli optimum vulgavit E. Revillout, idemque textum restituit, adiuvante Henrico Diels (1892); post eum edidit H. Weil (papyro iterum a Theodoro Reinach recognito); tum (ectypo solum usi) Blass et ego. In subsidium huius editionis papyrum ipsum contuli, operae benigne faventibus iis qui eum custodiunt. Lectiones nonnullas animo liberali, ut mos eius est, mecum communicavit Seymour de Ricci, qui totum papyrum diligenter exscripsit.

𝔖. Stobartianus (nunc Mus. Brit. Pap. 98). In Aegypto anno p. C. 1856 hunc rotulum nactus est H. Stobart. A fronte opus astrologicum habet, a tergo autem orationem funebrem Hyperidis. Opus quod a

[1] 'Mémoire sur quelques nouveaux fragments inédits de l'orateur Hypéride' (Paris).

[2] *Classical Review*, 1892, pp. 288, 429.

fronte scriptum est genethliacon cuiusdam est, ad annum p. C. 95 (minus probabiliter 155) computatum; unde credibile est orationem saeculo p. C. altero transcriptam esse. Exemplar est indolis haud ita communis, quippe quod a puero nescio quo scriptum esse videatur, dictitante magistro, erroribusque scateat foedissimis. Initio integer, a fine mutilus est rotulus; exitus tamen orationis pars magna a Ioanne Stobaeo exscripta superstes est. Rotuli fragmenta composuit textumque cum ectypo imprimendum curavit primus C. Babington (1858), recensuerunt Sauppe, Cobet, Comparetti, multi alii.

Praeter editiones, quas nominavi, orationum singularum, opera omnia Hyperidis ter edidit Fridericus Blass, quem honoris causa nomino, vir de studiis Graecis optime meritus et praecipue in rotulis papyraceis laceratis componendis, legendis, restituendis impiger, sollers, felix. Is in editione Teubneriana ultima (1894) omnia ferme quae de rotulis nostris dicenda sunt dixit. Orationes mutilas, Demosthenicam scilicet atque Lycophroneam, ipse, quantum fieri potest, in ordinem redegit; lectiones papyrorum maxima diligentia exposuit, curas editorum ceterorum repetivit et digessit. Opus eius fundamentum et subsidium laborum aliorum in Hyperide omnium manet aeternumque manebit.

Quae cum ita sint, de ratione editionis nostrae pauca dicenda sunt. Cum enim editio Blassiana rotulorum testimonia singulorum sedulo atque fideliter repetat, mendas vel apertissimas notare curet, iacturam etiam unius litterae uncis quadratis indicet, ita ut de his et huiusmodi rebus (paucis tantum exceptis) nihil dicendum maneat, equidem id potius in mente habui ut textum oratoris facilem legentibus praeberem. Si enim, exempli gratia, papyrus litteras *μ . ταδ . τα . τα* exhibet, luce clarius est verba *μετὰ δὲ ταῦτα* scripta fuisse. Is igitur qui, sicut Blass, testimonium papyri accuratissime vult commemorare, *μ[ε]τὰ δ[ὲ] τα[ῦ]τα*

imprimere curabit ; ei autem qui verba oratoris sine molestiis legenti praeponere cupit satis erit μετὰ δὲ ταῦτα sine uncis imprimere. Hoc igitur feci ; ubicunque certa est lacunas implendi ratio. signa dubitationis omisi, et καί, ἄνθρωπος, ὦ ἄνδρες δικασταί similia, potius quam κα[ί], ἄν[θρω]πος, ὦ ἄν[δρες δικασ]ταί, dare malui. Vbi autem dubitari potest, uncos retinui, et in commentario coniecturas auctori suas cuique tribuere, ut par est, conatus sum. Porro cum Blass versus quales in rotulis scripti sunt sedulo separare curaret, ego textum continuum, sicut in Demosthene, Aeschine, Thucydide, Platone, scriptoribus ceteris editorum mos est, et sicut in orationibus funebri et Euxenippea iam fecerunt Cobet, Comparetti, alii, imprimere malui. Vt rem breviter absolvam, testimonia rotulorum optime et plenissime congessit Blass : ego, pro viribus meis, verba oratoris legentium oculis simpliciter deferre volui.

Quod ad supplementa locorum mutilorum attinet, coniecturas multiplicare nolui, et ubi de sensu constat verba iam ab aliis proposita accipere malui quam nova de meo proponere ; qua in re F. Blass prae ceteris utilem atque ingeniosum inveni, quippe qui testimonia papyrorum vel minima optime observaverit et secutus sit. In papyris ipsis legendis, oculorum meorum testimonio usus sum ; ubicunque tamen iudicia aliorum, qui papyros ipsos inspexerunt, a meo discrepant, rem in commentario notavi. Rotulos omnes denuo contuli ; id quod praecipue in oratione contra Athenogenem scripta fructum nonnullum attulit.

Ordo orationum cum nullus adhuc constet (discrepant enim inter se editiones Blassianae altera et tertia, neque quisquam praeter eum orationes omnes edidit), tempora quibus quaeque habita fuerit respexi. Itaque primum locum obtinet Lycophronea, quam ante pugnam Chaeronensem (anno a. C. 338) habitam esse docet Hermannus Hager, cum postea dici non posset quod in c. 12 dictum est, actionem quae εἰσαγγελία nominatur sine periculo accusatoris esse. Causam

in Philippidem paullo post mortem Philippi actam esse e c. 8 paene probatum est; superstes enim adhuc erat rex Macedonum, cum Philippides decretum ferret, de quo eum accusat Hyperides, mortuus autem, cum res ad iudices deferretur. Anno igitur a. C. 336 exeunti tribuenda esse videtur oratio; dissentit autem Blass, qui vivo Philippo habitam esse censet. In Athenogenem orationem scripsit Hyperides annis plus quam centum quinquaginta post bellum Persicum iam peractis (c. 32), id quod annum inter 328 et 323 clare indicat. Iisdem fere temporibus habitam esse orationem pro Euxenippo iamdudum docuit Comparetti; utrum ante causam Athenogeneam an post illam, non liquet. De ceterarum duarum temporibus locus dubitandi nullus est. Anno 324 exeunte vel 323 ineunte Demosthenem in re Harpalica accusavit orator noster; anno 322, post obsidionem Lamiae et victoriam contra Leonnatum habitam, et ante pugnam apud Crannonem infelicem, orationem funebrem in honorem Leosthenis et sociorum eius peroravit. Quattuor ferme mensibus postea peractis orator ipse victoris Antipatri vindictam passus est.

Praeter sex orationes, quarum unam integram, ceteras magna ex parte servatas habemus, messis non parva est fragmentorum, a scriptoribus aliis citatorum. Haec, ne verba Hyperidis ulla deessent, editioni meae subieci; sed colligendi laborem alii antea sustinuerunt. Numeros fragmentorum quales in editione Blassiana tertia sunt retinui; in orationibus perditis numerandis (quarum nomina sexaginta sex commemorata sunt) etiam sex conservatarum rationem habui, ut una fiat series. Citationes ipsas breviter transcripsi, ita tamen ut verba oratoris ipsius nulla praeterirem; eadem fusius in editione Blassiana inveniet lector. Omnes ex ipsis scriptoribus, unde haustae sunt, denuo repetivi.

F. G. K.

Scribebam Londini
prid. Id. Nov. A.D. MCMVI.

SIGLA

Rotvli Papyracei

𝔄 = Ardenianus (Brit. Mus. Papp. 108 et 115), saec. i
𝔏 = Londinensis (Brit. Mus. Pap. 134), saec. i ante Chr. natum
𝔓 = Parisinus (Louvre Pap.), saec. ii ante Chr. natum
𝔖 = Stobartianus (Brit. Mus. Pap. 98), saec. ii
$\mathfrak{A}^*$, $\mathfrak{L}^*$, $\mathfrak{P}^*$, $\mathfrak{S}^*$ = lectio pristina papyrorum
$\mathfrak{A}^1$, $\mathfrak{L}^1$, $\mathfrak{P}^1$, $\mathfrak{S}^1$ = correctiones ab ipso scriba factae
$\mathfrak{A}^2$, $\mathfrak{L}^2$, $\mathfrak{P}^2$, $\mathfrak{S}^2$ = lectiones correctorum aliorum

Editores

B = Blass (*Hyperidis Orationes Sex*, ed. 3, 1894)
Bab. = Babington (*The Oration of Hyperides against Demosthenes*, 1850: *The Orations of Hyperides for Lycophron and for Euxenippus*, 1853: *The Funeral Oration of Hyperides*, 1858)
Cb. = Cobet (*Hyperidis orationes duae*, 1877)
D = Diels (apud Revillout, vid. infra)
K = Kenyon (*Classical Texts from Papyri in the British Museum*, 1891: *Hyperides, the Orations against Athenogenes and Philippides*, 1893)
R = Revillout (*Le Plaidoyer d'Hypéride contre Athénogène*, 1892)
W = Weil (*Revue des Études Grecques*, v., 1892, pp. 1–6, 157–188)

Puncta (. . . .) numerum litterarum perditarum, quantum aestimari potest, indicant; lineolae (— — — —) lacunam maiorem et amplitudinis vix ad amussim aestimandae monstrant.

In orationibus annumerandis Blassianos quoque numeros intra uncos curvatos adieci.

I (II)

ΑΠΟΛΟΓΙΑ ΥΠΕΡ ΛΥΚΟΦΡΟΝΟΣ

Frag. I [= col. 41 Blass.].

. . . [καὶ ἰδίᾳ] ἕκαστος καὶ κοινῇ, ἔπειτα τῷ νόμῳ καὶ τῷ ὅρκῳ, ὃς κε[λεύει] ὑμᾶς ὁμοίως [ἀκούειν] τῶν τε κατη[γορούντων καὶ τῶ]ν ἀπο[λογουμένων] καὶ . . . .

Frag. II [= coll. 42, 43 B.].

τῇ κατηγορίᾳ χρῆσθαι, οὕτω καὶ ἐμὲ ἐᾶτε ὃν τρόπον προῄρημαι καὶ ὡς ἂν δύνωμαι ἀπολογεῖσθαι. καὶ μηδεὶς ὑμῶν ἀπαντάτω μοι μεταξὺ λέγοντι, ‘τί τοῦθ’ ἡμῖν λέγεις;’ μηδὲ προστίθετε τῇ κατηγορίᾳ παρ’ ὑμῶν αὐτῶν μηδέν, ἀλλὰ μᾶλλον τῇ ἀπολογίᾳ . . . .

Frag. III [= coll. 44, 45 B.].

[οὐδ]ὲ ὁ νόμος συγκα[τηγο]ρεῖν μὲν τῷ βουλομένῳ κατὰ τῶν [κριν]ομένων ἐξουσίαν δίδωσι, συναπολογεῖσθαι δὲ κωλύει. ἵνα δὲ μὴ πρὸ τοῦ πράγματος πολλοὺς λόγους ἀναλ[ώσω], ἐπ’ αὐτὴν τὴν [ἀπολογ]ίαν πορεύσομαι, τοῖς μὲν θεοῖς εὐξάμενος βοηθῆσαί μοι καὶ σῶσαι ἐκ τοῦ παρόντος ἀγῶνος, ὑμᾶς δέ, ὦ ἄνδρες δικασταί, ἐκεῖνο παραιτησάμενος, πρῶτον . . . .

Frag. IV.

ἢ νεωρίων προδοσίαν ἢ ἀρχείων ἐμπυρισμὸν ἢ κατάληψιν ἄκρας . . . .

Titulus in indice rotulo 𝔄 praeposito ita exstat   1–3 *καὶ ἰδίᾳ . . . ἀπολογουμένων* restitui, e frag. Raphaeliano, quod exordio orationis certe tribuendum est   Frag. II] columnas duas praecessisse existimat B   9 *συγκατηγορεῖν* Sauppe: *σ . νκα . . . . ρει* 𝔄   10 *κρινομένων* Boeckh, Sauppe   11 *ἀναλώσω* Bab.   12 *ἀπολογίαν* Boeckh, Sauppe   16–17 *ἢ νεωρίων . . . ἄκρας*] fragmentum apud Pollucem (ix. 156) servatum hic inserit B

Frag. V [= coll. 47, 48 B.].

. . . . . ὅτι ἡ γυνὴ . . . . τον καὶ το[. . . .]ατο ἐκεῖνος [κυοῦ]σαν τὴν γυναῖκα [ἐξ] αὐτοῦ καταλέ[λοιπε]ν, οὐ παρὰ τοὺς ν[όμο]υς γενόμενον. [εἰ δ' ὥσ]περ Ἀρίστων ἐν τῇ εἰσαγγελίᾳ γρά[φει], οὕτως ὑπέλα[βον τ]ὰ περὶ το[ῦ παιδίου], οὐκ ἔδει δήπ[ου αὐτ]οὺς κωλύειν [τοὺς ἐγγυ]τάτω γένου[ς] ἐξά[γειν τὸν Εὔφημον, ἀλλ' ἐᾶν. νῦν δὲ τοῦτο ποιήσαντες ἔργῳ μεμαρτυρήκασιν αὐτοί, ὡς ψευδής ἐστιν ἡ αἰτία κατ' ἐμοῦ. πρὸς δὲ τούτοις πῶς οὐκ ἄτοπον, εἰ μέν τι ἔπαθεν τὸ παιδίον ἢ γιγνόμενον ἢ καὶ ὕστερον, ταύταις ταῖς διαθήκαις ἰσχυρίζεσθαι ἂν αὐτούς, ἐν αἷς ὑ . . . . .

* * *

Οὔτε γὰρ τὴν ἑαυτοῦ χεῖρα δυνατὸν ἀρνήσασθαι.

* * *

νωθρεύεσθαι

* * *

col. 2] 1 Ἀρίστωνος δὲ ἀνδράποδα εἶχεν ἐν τοῖς ἔργοις· καὶ ταῦτα αὐτὸς ὑμῖν ἐμαρτύρησεν ἐπὶ τοῦ δικαστηρίου, ὅτ' 2 ἦν το[ύτ]ῳ ὁ ἀγὼν πρὸς [Ἀρχε]στρατίδην. τοιοῦτο γάρ ἐστι τὸ Ἀρίστωνος τουτουῒ πρᾶγμα· [οὗ]τος προσκαλεῖται μὲν περιὼν πάντας ἀνθρώπους, τῶν δ' ὅσοι μὲν ἂν μὴ διδῶσιν αὐτῷ ἀργύριον, κρίνει καὶ κατηγορεῖ, ὁπ[όσοι] δ' ἂν ἐθέλωσιν [ἀπο]τίνειν, ἀφίησιν, τὸ δ' ἀργύριον Θεο[μνή]στῳ δίδωσιν· ἐκεῖνος δὲ λαμβάνων ἀνδράποδα ἀγοράζει, καὶ παρέχει ὥσπερ τοῖς λῃσταῖς ἐπισιτισμόν, καὶ δίδωσι τούτῳ col. 3] ὑπὲρ ἑκάστου τοῦ ἀνδραπόδου ὀβολὸν τῆς ἡμέρας, ὅπως ἂν ᾖ ἀθάνατος συκοφάντης.

1 . . ατο vel νο 𝔄, ut vid., vix [του]το, ut B 2–3 κυοῦσαν . . . εἰ δ' restit. B 3–4 ὥσπερ . . . γράφει ego 4–5 ὑπέλαβον . . . τοὺς B 5 ἐγγυτάτω Boeckh 6 ἐξάγειν B 11 οὔτε γὰρ κτλ.] citat ex hac oratione Pollux (ii. 152) 14 νωθρεύεσθαι] citat idem (ix. 137) 16 Ἀρίστωνος] Hic incipit pars rotuli quam consecutus est Ardenius, quae multo minus lacerata est. Primae tamen columnae nil praeter paucas litteras restat; inde ab altera autem continuus est tenor 18 τουτωι an τουτων habuerit 𝔄 incertum est Ἀρχεστρατίδην Bab. 19 οὗτος Shilleto: αὐτὸς Schneidewin 21–22 ὁπόσοι, ἀποτίνειν Bab. 22 Θεομνήστῳ Schneidewin

Ἄξιον δ' ἐστίν, ὦ ἄνδρες δικασταί, κἀκεῖθεν ἐξετάσαι τὸ 3
πρᾶγμα, ἀφ' ὧν ἐν τῷ δήμῳ τὸ πρῶτον αὐτοὶ εὐθὺς ᾐτιά-
σαντο. ἐμοὶ γὰρ ⟨οἱ⟩ οἰκεῖοι ἀπέστειλαν γράψαντες τήν
τε εἰσαγγελίαν καὶ τὰς αἰτίας ἃς ἐν τῇ ἐκκλησίᾳ ᾐτιάσαντό
με, ὅτε τὴν εἰσαγγελίαν ἐδίδοσαν, ἐν αἷς ἦν γεγραμμένον
ὅτι Λυκοῦργος λέγει, φάσκων τῶν [ο]ἰκ[είω]ν ἀκ[ηκοέ]ναι,
ὡς ἐγὼ παρακολουθῶν, ὅτε Χάριππος ἐγάμει τὴν γυναῖκα,
παρεκελευόμην αὐτῇ ὅπως μὴ πλησιάσῃ Χαρίππῳ ἀλλὰ δια-
φυλάξει αὐτήν. ἐγὼ δὲ ἃ καὶ πρὸς τοὺς ἐπιτηδείους καὶ [col. 4
πρὸς τοὺς ο[ἰκείους] τοὺς ἐμαυτ[οῦ τότε] ἥκων ἔλεγον, καὶ 4
νῦν πρὸς ὑμᾶς ἐρῶ, ὅτι, εἰ ἔστιν ταῦτα ἀληθῆ, ὁμολογῶ καὶ
τἆλλα πάντα πεποιηκέναι τὰ ἐν τῇ εἰσαγγελίᾳ γε[γραμ]μένα.
ὅτι δὲ [ψευδῆ] ἐστιν, ῥᾴδιον [οἶμαι] εἶναι ἅπασι[ν ἰδεῖν].
τίς γὰρ οὕτω[ς ἐστὶ] τῶν ἐν τῇ πόλει ἀλόγιστος, ὅστις 5
ἂν πιστεύσαι τούτοις τοῖς λόγοις; ἀνάγκη γάρ, ὦ ἄνδρες
δικασταί, πρῶτον μὲν ὀρεωκόμον καὶ προηγητὴν ἀκολουθεῖν
τῷ ζεύγει, ὃ ἦγεν τὴν γυναῖκα, ἔπειτα δὲ παῖδας τοὺς προ- [col. 5
πέμποντας αὐτὴν ἀκολουθεῖν καὶ Διώξιππον· καὶ γὰρ οὗτος
ἠκολούθει διὰ τὸ χήραν ἐκδίδοσθαι αὐτήν. εἶτ' ἐγὼ εἰς 6
τοῦτο ἀπονοίας ἦλθον, ὥστε ἄλλων τε τοσούτων ἀνθρώπων
συνακολουθούντων καὶ Διωξίππου καὶ Εὐφραίου τοῦ προσ-
γυμναστοῦ αὐτοῦ, οἳ τῶν Ἑλλήνων ὁμολογουμένως ἰσχυρό-
τατοί εἰσιν, οὐκ ᾐσχυνόμην τοιούτους λόγους λέγων περὶ
γυναικὸς ἐλευθέρας πάντων ἀκουόντων, οὐδ' ἐδεδίειν μὴ παρα-
χρῆμα ἀπόλωμαι [πνι]γόμενος; τίς γὰρ ἂν ἠνέσχετο τοιαῦτα
περὶ τῆς αὐτοῦ ἀδελφ[ῆς ἀκού]ων οἷά με ο[ὗτοι αἰτι]ῶνται [col. 6
εἰρηκ[έναι καὶ οὐ]κ ἂν ἀπέ[κτεινε τὸν] λέγοντα; [τὸ δὲ κεφ]ά- 7

3 *οἱ* add. Schneidewin 6 *οἰκείων* Bab. *ἀκηκοέναι* Bab. 8 *πλησιάσῃ*] *πλεονασῃ* 𝔄*, corr. 𝔄[2] : *πλησιάσει* Schneidewin 10 *οἰκείους* Bab. *τότε* Bab. quod cum spatio magis convenit : *εὐθὺς* B 12 *γεγραμμένα* Bab. 13 *ψευδῆ* Schneidewin *οἶμαι* et *ἰδεῖν* Caesar 14 *ἐστὶ* Bab. 17 *ὃ*] *ος* 𝔄*, *s* del. 𝔄[1]? 19 *ἐκδίδοσθαι*] *εγδιδοναι* 𝔄*, corr. 𝔄[2] 25 *πνιγόμενος* Kayser 26–27 *ἀκούων . . . κεφάλαιον* restit. Bab. (nisi *ἆρ'* habet pro *καί*, quod supplet Schneidewin)

λαιον ἀπ[άντων, ὡς] καὶ μικρῷ [πρότερο]ν εἶπον, εἰς [τοῦτο ἀν]αισθησίας ὁ Χ[άριππ]ος, ὡς ἔοικεν, [ἦλθε]ν, ὥστε πρότ[ερον] μέν, ὥς φασιν, [τῆς γυν]αικὸς προλε[γούσης] ὅτι συνομωμο[κυῖα εἴ]η πρὸς ἐμέ, πά[λιν δ]ὲ ἀκούων ἐμο[ῦ παρα]κελευμένο[υ αὐτῇ] ὅπως ἐμμ[ενεῖ ἐν] τοῖς ὅρκοις οἷ[ς ὤμο]σεν, ἐλάμβανε[ν ὅμως] γυναῖκα; καὶ ταῦ[τα δο]κεῖ ἂν ὑμῖν ἢ [Ὀρέστης] ἐκεῖνος ὁ μαινόμενος ποιῆσαι ἢ Μαργίτης ὁ πάντων ἀβελτερώτατος;

col. 7] Ἀλλ' οἶμαι, ὦ ἄνδρες δικασταί, πολλὰ πλεονεκτοῦσιν ἐν
8 τοῖς ἀγῶσιν οἱ κατήγοροι τῶν φευγόντων· οἱ μὲν γὰρ διὰ τὸ ἀκίνδυνον αὐτοῖς εἶναι τὸν ἀγῶνα ῥᾳδίως ὅ τι ἂν βούλωνται λέγουσι καὶ καταψεύδονται, οἱ δὲ κρινόμενοι διὰ τὸν φόβον πολλὰ καὶ τῶν πεπραγμένων αὐτοῖς εἰπεῖν ἐπιλανθά-
9 νονται. ἔπειτα οἱ μὲν ἐπειδὰν πρότερον λόγον λάβωσιν, οὐ μόνον ἃ ἔχουσιν αὐτοὶ δίκαια περὶ τοῦ πράγματος λέγουσιν, ἀλλὰ συσκευάσαντες λοιδορίας ψευδεῖς κατὰ τῶν κρινομένων ἐξιστᾶσιν τῆς ἀπολογίας· ὥστε συμβαίνειν αὐτοῖς δυοῖν τὸ
col. 8] ἕτερον, ἢ περὶ τῶν ἔξωθεν διαβολῶν ἀπολογουμένοις τῆς [περὶ τοῦ] πράγματος [ἀπολογία]ς ἀπολελ[εῖφθαι, ἢ] μὴ μεμνη[μένοις περὶ] τῶν προκ[ατηγορηθ]έντων, ο[ὕτω δόξα]ν καταλείπ[ειν παρ]ὰ τοῖς δικασταῖς [ὅτι] ἀληθῆ ἐστιν τὰ
10 εἰρημένα. πρὸς δὲ τούτοις τούς τε μέ[λλοντα]ς βοηθεῖν το[ῖς φεύγ]ουσι προδιαβάλλουσι καὶ αὐτοῦ το[ῦ κριν]ομένου τὴν [ἀπολο]γίαν διαστρ[έφουσιν]· οἷον καὶ Ἀ[ρίστων] οὑτοσὶ ἐνεχεί[ρησέ που] ἐν τῇ κα[τηγορίᾳ, οὐ]δ' ἀπολ[ογίαν δίδω]σι τῶν ἀ[ναβαινόν]των ὑπὲ[ρ ἐμοῦ καὶ] συναπολ[ογησομέ]νων.

1 ἀπάντων Sauppe ὡς B πρότερον Sauppe τοῦτο . . . αὐτῇ Bab. 5 ἐμμενεῖ Schneidewin : -ῃ Bab. 6 ὅμως coni. B : αὐτὴν pro spatio nimium est δοκεῖ Bab. 7 Ὀρέστης B ; prima littera certe ο vel ς est 19 περὶ . . . ἀπολογίας restit. Bab. ἀπολελεῖφθαι Schneidewin 20 μεμνημένοις Shilleto : -μένων B περὶ τῶν προκ. Bab. οὕτω δόξαν B 21 καταλείπειν Bab. : -εσθαι B 21–22 ὅτι . . . μέλλοντας restit. Bab. 23 τοῖς φεύγουσι Caesar 23–24 τοῦ . . . διαστρέφουσιν restit. Bab. 24 Ἀρίστων Sauppe 25 ἐνεχείρησε Schneidewin που] νῦν Shilleto : ποιεῖν Kayser : ποιῆσαι (pro spatio nimium) B οὐδ' Kayser: ὃς οὐδ' B 25–26 ἀπολογίαν . . . καὶ B 26 συναπολογησομένων Kayser

δι[ὰ τί δ' οὗτοι] μὴ ἀπο[λογῶνται;] πότερ' οὐ δ[ίκαιον
ἔ]στι τοῖς κρινομένοις τοὺς οἰκείους καὶ τοὺς φίλους βοηθεῖν; [col. 9
ἢ ἔστιν τι τῶν ἐν τῇ πόλει τούτου δημοτικώτερον, τοῦ τοὺς
δυναμένους εἰπεῖν τοῖς ἀδυνάτοις τῶν πολιτῶν κινδυνεύουσι
βοηθεῖν; σὺ δὲ οὐ μόνον περὶ τῶν συνηγόρων τοὺς λόγους 11
πεποίησαι, ἀλλὰ καὶ τὴν ἀπολογίαν τὴν ἐμὴν διατάττεις·
καὶ παραγγέλλεις τοῖς δικασταῖς περὶ ὧν δεῖ αὐτοὺς ἀκούειν
⟨καὶ⟩ κελεύειν με ἀπολογεῖσθαι, καὶ περὶ ὧν μὴ ἐᾶν λέγειν.
καὶ τοῦτο πῶς καλῶς ἔχει, σὲ μὲν ὅπως ἠβούλου τὴν κατη-
γορίαν ποιήσασθαι, προειδότα δὲ ἃ ἔχω ἐγὼ δίκαια λέγειν [col. 10
πρὸς τὰ παρὰ σοῦ ἐψευσμένα, ὑφαιρεῖσθαί μου τὴν ἀπο-
λογίαν; καὶ ἐμὲ μὲν αἰτιᾷ ἐν τῇ εἰσαγγελίᾳ καταλύειν τὸν 12
δῆμον παραβαίνοντα τοὺς νόμους, αὐτὸς δ' ὑπερπηδήσας
ἅπαντας τοὺς νόμους εἰσαγγελίαν δέδωκας ὑπὲρ ὧν γραφαὶ
πρὸς τοὺς θεσμοθέτας ἐκ τῶν νόμων εἰσίν, ἵνα πρῶτον μὲν
ἀκίνδ[υνος εἰσ]ίῃς εἰς τὸ[ν ἀγῶνα,] ἔπειτα ἐξ[ῇ σοι τραγ]ῳδίας
γρ[άψαι εἰς τὴ]ν εἰσαγγελ[ίαν οἵασ]περ νῦν γέγραφας, [ὅς
μ'] αἰτιᾷ ὅτι [πολλὰς μὲν γ]υνα[ῖκας ποιῶ] ἀγάμ[ους ἔνδον
κα]ταγηρ[άσκειν, πολλ]ὰς δὲ σ[υνοικεῖν ο]ἷς οὐ προσήκει [col. 11
παρὰ τοὺς νόμους. οὐκοῦν ἄλλην μὲν οὐδεμίαν τῶν ἐν τῇ 13
πόλει γυναῖκα ἔχεις εἰπεῖν, ᾗτινι ἐγὼ τούτων αἴτιός εἰμι,
περὶ ἧς δὲ νῦν τὴν κατηγορίαν πεποίησαι, πότερα ᾤου προσ-
ήκειν συνοικεῖν ἐκδεδομένην Χαρίππῳ, ἑνὶ τῶν πολιτῶν,
ἢ ἀνέκδοτον ἔνδον καταγηράσκειν, ᾗ εὐθὺς ἐξεδόθη τάλαντον
ἀργυρίου προσθέντος αὐτῇ Εὐφήμου, δηλονότι οὐ διὰ πονη-
ρίαν, ἀλλὰ δι' ἐπιείκειαν;

Τούτῳ μὲν οὖν ἔξεστιν, ⟨ὦ⟩ ἄνδρες δικασταί, καὶ λέγειν 14
ὅ τι ἂν βούληται καὶ καταψεύδεσθαι, ὑμᾶς δ' οἶμαι δεῖν οὐκ

1 διὰ τί . . . ἀπολογῶνται B δίκαιον Lightfoot 3 τούτου] τουτων 𝔄, corr. Schneidewin 8 καὶ om. 𝔄, add. Kayser 16 εἰσίῃς . . . ἀγῶνα Bab. ἐξῇ Kayser τραγῳδίας Bab. 17 γράψαι εἰς τὴν B : γράφειν δέον Kayser οἵασπερ Kayser ὅς Kayser 18 μ' B πολλὰς Sauppe ποιῶ B ἔνδον καταγηράσκειν Bab. 19 πολλὰς δὲ συνοικεῖν Sauppe 20 οὐκοῦν Bab.: οὔκουν Schneidewin 22 post ᾤου, οὐ ins. Kirchhoff. B 27 ὦ om. 𝔄*, add. fortasse 𝔄²

col. 12] ἐκ τῶν τοῦ κατηγόρου διαβολῶν περὶ ἐμοῦ δικάζειν, ἀλλ' ἐξ
ἅπαντος τοῦ βίου ὃν βεβίωκα ἐξετάσαντας. λαθεῖν γὰρ
τὸ πλῆθος τὸ ὑμέτερον οὐκ ἔνι οὔτε πονηρὸν ὄντα οὐδένα
τῶν ἐν τῇ πόλει οὔτε ἐπιεικῆ, ἀλλ' ὁ παρεληλυθὼς χρόνος
μάρτυς ἐστὶν ἑκάστῳ τοῦ τρόπου ἀκριβέστατος, ἄλλως τε
15 δὴ καὶ περὶ τούτων τῶν αἰτιῶν οἵα αὕτη ἐστίν. ὅσα μὲν
γὰρ τῶν ἀδικημάτων ἐν ἁπάσῃ τῇ ἡλικίᾳ [τῇ] τοῦ ἀνθρώπου
[ἐνδέ]χεται ἀδικῆσαι, ταῦτα μὲν δεῖ [σκοπεῖ]ν ἀπ' αὐτοῦ τοῦ
[ἐγκλή]ματος οὗ ἂν [ἔχῃ τις· μο]ιχεύειν [δ' οὐκ ἐνδέ]χεται
ἀπὸ [πεντήκο]ντα ἐτῶν [ἀρξάμενον,] ἀλλ' ἢ πά[λαι τοιοῦτ]ός
col. 13] ἐστιν, ὃ δειξάτωσαν οὗτοι, ἢ ψευδῆ τὴν αἰτίαν εἰκὸς εἶναι.
16 ἐγὼ τοίνυν, ὦ ἄνδρες δικασταί, μεθ' ὑμῶν διατρίβων ἐν τῇ
πόλει τὸν ἅπαντα χρόνον, οὔτε αἰτίαν πονηρὰν οὐδεμίαν
πώποτ' ἔλαβον, οὔτ' ἔγκλημά μοι πρὸς οὐδένα τῶν πολιτῶν
γέγονεν, οὐδὲ πέφευγα δίκην οὐδεμίαν, οὐδ' ἕτερον δεδίωχα,
ἱπποτροφῶν δὲ διατετέλεκα φιλοτίμως τὸν ἅπαντα χρόνον
παρὰ δύναμιν καὶ ὑπὲρ τὴν οὐσίαν τὴν ἐμαυτοῦ. ἐστεφά-
νωμαι δ' ὑπό τε τῶν ἱππέων πάντων ἀνδραγαθίας ἕνεκα, καὶ
17 ὑπὸ τῶν συναρχόντων. ὑμεῖς γάρ με, ὦ ἄνδρες δικασταί,
col. 14] πρῶτον μὲν φύλαρχον ἐχειροτονήσατε, ἔπειτα εἰς Λῆμνον
ἵππαρχον· καὶ ἦρξα μὲν αὐτόθι δύ' ἔτη τῶν πώποθ' ἱππαρ-
χηκότων μόνος, προσκατέμεινα δὲ αὐτόθι τὸν τρίτον ἐνιαυτόν,
οὐ βουλόμενος πολίτας ἄνδρας ἐπὶ κεφαλὴν εἰσπράττειν τὸν
18 μισθὸν τοῖς ἱππεῦσιν ἀπόρως διακειμένους. καὶ ἐν τούτῳ
μοι τῷ χρόνῳ ἔγκλημα μὲν οὐδεὶς τῶν ἐκεῖ ἐνεκάλεσεν οὔτε
ἰδίᾳ οὔτε δημοσίᾳ, στεφάνοις δὲ τρισὶν ἐστεφανώθην ὑπὸ τοῦ
δήμου τοῦ ἐν Ἡφαιστίᾳ καὶ ἑτέροις ὑπὸ τοῦ ἐν Μυρίνῃ· ἃ
col. 15] χρὴ τεκμήρια ὑμῖν εἶναι εἰς τοῦτον τὸν ἀγῶνα, ὡς ψευδεῖς
κατ' ἐμοῦ ⟨αἱ⟩ αἰτίαι εἰσίν. οὐ γὰρ οἷόν τε τὸν Ἀθήνησι
πονηρὸν ἐν Λήμνῳ χρηστὸν εἶναι, οὐδ' ὑμεῖς ὡς τοιοῦτον

7 τῇ suppl. Sauppe 8 ἐνδέχεται Bab. σκοπεῖν Bab. 9 ἐγκλήματος B 9–10 ἔχῃ τις . . . τοιοῦτος Bab. 14 πωποτε λαβων 𝔄*, corr. 𝔄² 16 φιλοτίμως] πολυτίμως 𝔄*, corr. 𝔄¹ 27 Μυρρινη 𝔄 28 χρὴ . . . εἶναι] δὴ . . . ἐστιν Bab., sed ειναι habere 𝔄 certum est 29 αἱ om. 𝔄, add. Bab.

ὄντα με ἀπεστέλλετε ἐκεῖσε, παρακατατιθέμενοι δύο πόλεις τῶν ὑμετέρων αὐτῶν.

Ὅσα μὲν οὖν ἐγὼ εἶχον, ὦ ἄνδρες δικασταί, ὑπὲρ ἐμαυτοῦ 19
εἰπεῖν, σχεδὸν ἀκηκόατε. ἐπειδὴ δὲ ὁ κατήγορος οὐκ ἀπεί-
ρως ἔχων τοῦ λέγειν, εἰωθὼς δὲ πολλάκις ἀγωνίζεσθαι,
ἐκάλει συνηγόρους τοὺς συναπολοῦντάς τινα τῶν πολιτῶν
ἀδίκως, δέομαι ὑμῶν καὶ ἐγὼ καὶ ἀντιβολῶ κελεῦσαι κἀμὲ
καλέσαι τοὺς συνεροῦντας ἐμοὶ ὑπὲρ τηλικούτου ἀγῶνος, καὶ [col. 16
ἀκοῦσαι εὐνοϊκῶς, εἴ τίς μοι ἔχει τῶν οἰκείων ἢ τῶν φίλων
βοηθῆσαι, πολίτῃ μὲν ὄντι ὑμετέρῳ, ἰδιώτῃ δὲ καὶ οὐκ 20
εἰωθότι λέγειν, ἀγωνιζομένῳ δὲ καὶ κινδυνεύοντι οὐ μόνον
περὶ θανάτου, ἐλάχιστον γὰρ τοῦτό ἐστιν τοῖς ὀρθῶς λογιζο-
μένοις, ἀλλ' ὑπὲρ τοῦ ἐξορισθῆναι καὶ ἀποθανόντα μηδὲ ἐν
τῇ πατρίδι ταφῆναι. ἐὰν οὖν κελεύητε, ὦ ἄνδρες δικασταί,
καλῶ τινα βοηθήσοντα. ἀνάβηθί μοι, Θεόφιλε, καὶ σύνειπε
ὅ τι ἔχεις· κελεύουσιν οἱ δικασταί.

Subscriptio in 𝔄, Ἀπολογία ὑπὲρ Λυκόφρονος

II (IV)

ΚΑΤΑ ΦΙΛΙΠΠΙΔΟΥ

. . . .

col. 1] κατηγορίας ποιοῦνται, καὶ φανερὸν ποιοῦσιν ὅτι οὐδὲ τότε
1 φίλοι ὄντες Λακεδαιμονίων ὑπὲρ ἐκείνων ἔλεγον, ἀλλὰ τὴν
πόλιν μισοῦντες καὶ τοὺς ἰσχύοντας ἀ[εὶ] καθ' ὑμῶν θεραπεύ-
2 οντες. ἐπεὶ δὲ νῦν ἡ ἐκείνων δύναμις εἰς μικρὸν μετέστη,
το[ῦτο]ν κολακεύειν προείλ[οντο]· καὶ Δημοκράτης [νῦν] αὐτοῖς
ὁ Ἀφιδναῖος [ἀεὶ συγ]καθήμενος κα[ὶ συνα]ναστὰς γελωτο-
π[οιεῖ ἐ]πὶ τοῖς τῆς πόλεως ἀτυχήμασιν, καὶ λο[ιδορεῖ]θ' ὑμῖν
μεθ' ἡμέραν [ἐν] τῇ ἀγορᾷ, εἰς ἑσπέραν [δὲ δε]ιπν[ή]σων ὡς
3 ὑμᾶς [ἔρχ]εται. καίτοι, ὦ Δημόκρατες, μόνῳ σοι οὐκ [ἔνι
λέγ]ειν περὶ τοῦ δήμου [φα]ῦλον οὐδέν· διὰ τί; ὅτι πρῶτον
col. 2] μὲν οὐ παρ' ἑτέρου σ' ἔδει μαθεῖν ὅτι ὁ δῆμος χάριτας ἀπο-
δίδωσιν τοῖς εὐεργέταις, ἀλλὰ παρὰ σαυτοῦ· αὐτὸς γὰρ ὑπὲρ
ὧν ἕτεροι εὐεργέτησαν νῦν τὰς τιμὰς κομίζει. ἔπειθ' ὅτι ἐν
νόμῳ γράψας ὁ δῆμος ἀπεῖπεν μήτε λέγειν ἐξεῖναι [μηδενὶ]
κακῶς Ἁρμόδιον καὶ Ἀριστογείτονα, μήτ' ᾆσα[ι ἐ]πὶ τὰ
κακίονα. ἦ καὶ δεινόν ἐστιν [ε]ἰ τοὺς μὲν σοὺς προγόνους
ὁ δῆμος οὐδὲ μεθυσθέντι ᾤετο δεῖν ἐξεῖναι κακῶς εἰπεῖν, σὺ
δὲ νήφων τὸν δῆμον κακῶς λέγεις.
4 Βραχέα δ' ἔτι πρὸς ὑμᾶς εἰπών, ὦ ἄνδρες δικασταί, καὶ
ἀναλογισάμενος, καταβήσομαι. γραφὴ παρανόμων ἐστὶν
col. 3] ὑπὲρ ἧς τὴν ψῆφον μέλλετε [φέρ]ειν· τὸ δὲ ψήφισμα τὸ

Fragmenta huius orationis in Appendice reperientur. Supplementa quibus nomen nullum adiunctum est editoris primi sunt 6 τοῦτον] ita B; sed spatium vix sufficit προείλοντο B νῦν] ἐν B 7 ἀεὶ] ἐστὶ B συναναστὰς] συνανιστας 𝔏: χορὸν ἱστὰς B 8–10 locus incertissimus: λοιδορεῖθ' B 8 ὑμῖν] ημειν 𝔏*, corr. 𝔏[2] 9 ἐν B 10 ἔνι λέγειν B[2] 16 ᾆσαι ἐπὶ Jebb, Sandys 17 ἦ B W contra 𝔏 εἰ] ὅ[τ]ι B[2] 22 φέρειν B ex or. iv, c. 40

κρινόμενον ἔπαινος προέδρων. ὅτι δὲ προσήκει τοὺς προέδρους
κατὰ τοὺς νόμους προεδρεύειν, οὗτοι δὲ παρὰ τοὺς νόμους
προηδρεύκασιν, αὐτῶν τῶν νόμων ἠκούετε ἀναγιγνωσκομένων. 5
τὸ λοιπὸν ἤδη ἐστὶν παρ' ὑμῖν· δείξετε γὰρ πότερα τοὺς
παράνομα γράφοντας τ[ιμω]ρήσεσθε, ἢ τὰς τοῖς εὐεργέταις
ἀποδεδειγμένας τιμὰς ταύτας δώσετε τοῖς ἐναντία τοῖς νόμοις
προεδρεύουσιν, καὶ ταῦτα ὀμωμοκότες κατὰ τοὺς νόμους ψη-
φιεῖσθαι. ἀλλὰ μὴν οὐδ' ἐξαπατηθῆναι ὑμῖν ἔνεστιν ὑπὸ
τοῦ λόγου αὐτῶν, ἂν φῶσιν ἀναγκαῖα εἶναι τῷ δήμῳ τὰ περὶ
τῶν ἐπ[αίν]ων ψηφίζεσθαι· τοὺς γὰρ προέδρους οὐκ ἔνεστιν [col. 4
εἰπεῖν ὡς ἀνάγκη τις ἦν στεφανῶσαι. πρὸς δὲ τούτοις 6
αὐτὸς ἡμῖν [οὗτ]ος ῥᾳδίαν πεποίηκεν τὴν γνῶσιν· ἔγραψεν
γὰρ ὧν ἕνεκα ἐστεφάνωσεν τοὺς προέδρους, δικαιοσύνης τε
τῆς εἰς τὸν δῆμον τὸν Ἀθηναίων καὶ διότι κατὰ τοὺς νόμους
προηδρεύκασιν. ἐπὶ δ[ὴ] ταῦτ' ἄγετ' αὐτὸν ἀπολογησόμενον,
καὶ σύ, ὦ Φ[ιλι]ππίδη, δείξας ἀληθῆ εἶναι τὰ περὶ τῶν
προέδρων, ἃ ὑπέθου ἐν τῷ ψηφίσματι, ἀπόφευγε. εἰ δ' 7
ο[ἴει] κορδακίζων καὶ γελωτοποιῶν, ὅπερ ποιεῖν εἴωθας, ἐπὶ
τῶν δικαστηρίων ἀποφεύξεσθαι, ε[ὐήθ]ης εἶ. ἢ παρὰ τούτω[ν
φὴ]ς συγγνώμην ἢ ἔ[λεόν τι]να παρὰ τὸ δίκαι[ον ὑπ]άρ[χ]ειν;
πολλοῦ γε δ[εῖ. οὐ γ]ὰρ ἀπέθου σαυτῷ εὔνοιαν παρὰ τῷ [col. 5
δήμῳ, ἀλλ' ἑτέρωθι, οὐδὲ τοὺς σῶσαί σε δυναμένους ᾤου
δεῖν κολακεύειν, ἀλλὰ τοὺς τῷ δήμῳ φοβεροὺς ὄντας. καὶ 8
ἓν μὲν σῶμα ἀθάνατον ὑπ[είλη]φας ἔσεσθαι, πόλεως δὲ
τηλικαύτης θάνατον κατέγνως· οὐδ' ἐκεῖνο συνιδών, ὅτι τῶν

5 τε[ιμω]ρησεσθε 𝔓 6 δώσετε] σωσετε 𝔓*, corr. 𝔓[1] 10 ἐπαίνων B[2], fortasse recte : τιμῶν ed. pr. 12 ἡμῖν] ὑμῖν (contra 𝔓) Koehler B W 15 δὴ B 17 α δ υπεθου 𝔓*, sed super δ punctum (delendi signum) positum esse videtur 18 ειωθες 𝔓. B et Herwerden punctum post εἴωθας delent, post δικαστηρίων ponunt 19 post εἶ spatium in 𝔓 indicat novam clausulam incipi 20 φὴς] φῇς B[2] : σοι B[3] ἔλεόν τινα Sandys ὑπάρχειν B[2], sed vera lectio adhuc dubia est 21 πολλοῦ γε δεῖ. οὐ γὰρ Herwerden et Diels. Cf. Rehdantz, *Ind. Dem.* s. v. δέω : πολλοῦ γε δεῖ γὰρ ed. pr., δεῖν γὰρ B : num spatium litteris ου sufficiat dubitari potest 24 ὑπείληφας] verbum in papyro prius prave scriptum ita reficitur ut litterae mediae adhuc dubiae restent

μὲν τυράννων οὐδεὶς πώποτε τελευτήσας ἀνεβίωσεν, πόλεις δὲ πολλαὶ ἄρδην ἀναιρεθεῖσαι πάλιν ἴσχυσαν. οὐδὲ τὰ ἐπὶ τῶν τριάκοντα ἐλογίσασθε, οὐδ' ὡς καὶ τῶν ἐπιστρατευσάντων καὶ τῶν ἔνδοθεν συνεπιθεμένων αὐτῇ περιεγένετο, ἀλλὰ φανεροὶ ἐγένεσθε καιροφυλακοῦντες τὴν πόλιν εἴ ποτε δοθήσεται ἐξουσία λέγειν τι ἢ πράττειν κατὰ τοῦ δήμου.
9 εἶτα περὶ καιρῶν αὐτίκα δὴ τολμήσετε λέγειν τοὺς κατὰ τῆς
col. 6] πόλεως καιροὺς οὐ παραφυλάξαντες, καὶ τὰ παιδία ἥκεις ἔχων εἰς τὸ δικαστήριον, καὶ ἀναβιβάσας αὐτίκα δὴ ἀξιώσεις ὑπὸ τούτων ἐλεεῖσθαι. ἀλλ' οὐ δίκαιον· ὅτε γὰρ ἡ πόλις ὑπὸ τῶν ἄλλων ᾠκτείρετο διὰ τὰ συμβάντα, τόθ' ὑφ' ὑμῶν ἐξυβρίζετο. καίτοι οὗτοι μὲν τὴν Ἑλλάδα σῴζειν προελόμενοι ἀνάξια τῶν φρονημάτων ἔπασχον, σὺ δὲ τὴν πόλιν εἰς τὰς ἐσχάτας αἰσχύνας ἀδίκως καθιστὰς νυνὶ δικαίως
10 τιμωρίας τεύξῃ. διὰ τί γὰρ ⟨ἂν⟩ τούτου φείσαισθε; πότερα διότι δημοτικός ἐστιν; ἀλλὰ ἴστ' αὐτὸν τοῖς μὲν τυράννοις δουλεύειν προελόμενον, τῷ δὲ δήμῳ προστάττειν ἀξιοῦντα.
col. 7] ἀλλ' ὅτι χρηστός; ἀλλὰ δὶς αὐτοῦ ἀ[δικί]αν κατέγνωτε. ναί, ἀλλὰ χρήσιμος· ἀλλ' εἰ χρήσεσθε τῷ ὑφ' ὑμῶν ὁμολογουμένως πονηρῷ κριθέντι, ἢ κρίνειν κακῶς δόξετε ἢ πονηρῶν ἀνθρώπων ἐπιθυμεῖν. οὐκοῦν οὐκ ἄξιον τὰ [τούτ]ου ἀδικήματα αὐτοὺς ἀναδέχεσθαι, ἀλλὰ [τιμω]ρεῖσθαι τὸν
11 ἀδικοῦντα. κα[ὶ ἐὰν] ἄρα λέγῃ τις ἀναβὰς ὡς δὶς ἥλωκεν πρότερον παρανόμων, καὶ διὰ τοῦτο φῇ δεῖν ὑμᾶς ἀποψηφίσασθαι, τοὐναντίον ποιεῖτε κατ' ἀμφότερα. πρῶτον μὲν ὅτι εὐτύχημά ἐστιν τὸν ὁμολογουμένως τὰ παράνομα γράφοντα τὸ τρίτον κρινόμενον λαβεῖν· οὐ γὰρ ὥσπερ ἀγαθοῦ τινος φείδεσθαι προσήκει τούτου, ἀλλὰ τὴν ταχίστην ἀπηλλάχθαι,
col. 8] ὅς γε τοῦ τρόπου δὶς ἤδη ἐν ὑμῖν βάσανον δέδωκεν. ἔπειτα
12

5 *τὴν πόλιν* 𝔓[1] : *ἐν τῇ πόλει* 𝔓*. Cf. Dem. 23, § 173 7–8 *λέγειν; . . . παραφυλάξαντες;* B 8 *οὐ*] *οἱ* W : nescio an ⟨*ὡς*⟩ *οὐ π.* scribendum sit *φυλαξαντες* 𝔓* : *παρα* add. 𝔓[2] 15 *ἂν* ins. Herwerden B 18 *ἀδικίαν*] cf. Andoc. 1, § 3 22 *αὐτοὺς* B, secutus Deinarch. in Dem. § 106

δέ, ὥσπερ τοῖς τῶν ψευδομαρτυρίων δὶς ἡλωκόσιν δεδώκατε ὑμεῖς τὸ τρίτον μὴ μαρτυρεῖν μηδ' οἷς ἂν παραγένωνται, ἵνα μηδενὶ τῶν πολιτῶν ᾖ τὸ ὑμέτερον πλῆθος αἴτιον τοῦ ἠτιμῶσθαι, ἀλλ' αὐ[τὸς] α[ὐ]τῷ, ἂν μὴ παύηται τὰ ψευδῆ μαρτυρῶν, οὕτω καὶ τοῖς ἡλωκόσι παρανόμων ἔξεστιν μηκέτι γράφειν, εἰ δὲ μή, δῆλόν ἐστιν ὅτι ἰδίου τινὸς ἕνεκα τοῦτο ποιοῦσιν· ὥστε οὐκ οἴκτου οἱ τοιοῦτοι ἄξιοί εἰσιν, ἀλλὰ τιμωρίας. ἵνα δὲ μὴ προθέμενος πρὸς ἀμφορέα ὕδατος 13
εἰπεῖν μακρολογῶ, ὁ μὲν γραμματεὺς ὑμῖν ἀναγνώσεται τὴν γραφὴν πάλιν· ὑμεῖς δὲ τῶν τε κατηγορημένων μεμνημένοι [col. 9
καὶ τῶν νόμων ἀκούσαντες ἀναγιγνωσκομένων, τά τε δίκαια καὶ τὰ συμφέροντα ὑμῖν αὐτοῖς ψηφίζεσθε.

1 ψευδομαρτυρίων] B citat Plat. *Theaet.* 148 B ἔνοχος τοῖς ψευδομαρτυρίοις 9 εἰπεῖν £^{2} : δεησειεν £*

III (V)

ΚΑΤ' ΑΘΗΝΟΓΕΝΟΥΣ

. . . .

col. 1] Εἰπόντος δέ μου πρὸς αὐτὴν τά τε ⌊πεπραγμ⌋ένα, καὶ ὅτι
1 μοι Ἀθηνογένης χαλεπὸς εἴη καὶ οὐδὲν ἐθέλοι τῶν μετρίων
συγχωρεῖν, τοῦτον μὲν ἔφη ἀεὶ τοιοῦτον εἶναι, ἐμὲ δ' ἐκέλευε
2 θαρρεῖν· αὐτὴ γάρ μοι πάντα συναγωνιεῖσθαι. καὶ ταῦτ'
ἔλεγεν σπουδάζουσά τε τῷ ἤθει ὡς ἔνι μάλιστα καὶ ὀμνύουσα
τοὺς μεγίστους ὅρκους, ἦ μὴν μετ' εὐνοίας τῆς ἐμῆς λέγειν
καὶ ἐπὶ πάσης ἀληθείας· ὥστ' ἐμέ, ὦ ἄνδρες δικασταί,
εἰρήσεται γὰρ πρὸς ὑμᾶς τἀληθές, ταῦτα πεπεῖσθαι. οὕτως,
ὡς ἔοικεν, ἐξίστησιν [ἡμῶν τὴν] φύσιν ἔρως, προσλαβὼν
γυναι[κὸς ποικιλ]ίαν. ἐκείνη γοῦν φενακίζουσα [τὰ μάται]α
ταῦτα προσπεριέκοψεν αὑτῇ [ὡς δ]ὴ εἰς παιδίσκην τριακοσίας
3 δραχμὰς εὐνοίας ἕνεκα. ἴσως μὲν οὖν, ὦ ἄνδρες δικασταί,
οὐδὲν ⌊οὕτω⌋ θαυμαστόν με ὑπὸ Ἀντιγόνας τὸν τρόπον τοῦτον
παιδαγωγηθῆναι, γυναικὸς ἣ δεινοτάτη μὲν τῶν ἑταιρῶν, ὥς
φασιν, ἐφ' ἡλικίας ἐγένετο, διατετέλεκε δὲ πορνοβοσκοῦσα
. . . . εν . . . .
. . . οἶκον τοῦ Χολλίδου ου . . . . ω ὄντα ἀνῄρηκεν.
καίτοι ⌈εἰ καθ' ἑ⌋αυτὴν οὖσα τοιαῦτα διεπράτ[τετο, τί οἴεσ⌋θ'
αὐτὴν νῦν ἐπι[τελ]εῖν, προσ⌊λαβοῦσαν συ]ναγωνιστὴν Ἀθη-
col. 2] νογένην, ἄνθρωπον λογογράφον τε καὶ ἀγοραῖον, τὸ δὲ

2 *πεπραγμένα* (D B) cum reliquiis magis convenit quam [*ἄλλα πά*]*ντα*: aliter censet de Ricci 10 *ἡμῶν τὴν* D W : *ἀνθρώπου* B 11 *ποικιλίαν*] *αἱμυλίαν* W : littera ante *-ιαν* proxima λ, δ, vel α videtur fuisse *τὰ μάταια*] *ἅπαντα* R D B, cum hiatu, *πάντα* W, quae spatio vix sufficiunt 12 *ὡς δὴ* D R : *μέ τι* B : sed η paene certum est post *παιδίσκην* spatium est in 𝔓, unde colligendum verba . . . *εἰς παιδίσκην* parenthesin esse 14 *οὕτω*] *ἔσται* D : *ἐστι* W B : littera ante θ potest etiam ρ esse (fortasse *ὑπερθαύμαστον*) 18 *ἀνείρηκεν* – *ἀνήιρηκεν* 𝔓, ut vid. 19 *εἰ* W : *ἥτις* B *τί οἴεσθ'* K : *τί οἴεσθε* B : *τί χρὴ* W : sed θ certum videtur 20 *ἐπιτελεῖν* W : *νυνεὶ ποιεῖν* B : utrumque cum reliquiis convenit *προσλαβοῦσαν* K B

μέγιστον, Αἰγύπτιον; τέλος δ' οὖν, ἵνα μὴ μακρολογῶ, μετα- 4
πεμψαμένη με πάλιν ὕστερον εἶπεν ὅτι πολλοὺς λόγους
ἀναλώσασα πρὸς τὸν Ἀθηνογένην μόλις εἴη συμπεπεικυῖα
αὐτὸν ἀπολῦσαί μοι τόν τε Μίδαν καὶ τοὺς υἱεῖς ἀμφοτέρους
τετταράκοντα μνῶν, καὶ ἐκέλευέ με τὴν ταχίστην πορίζειν τὸ
ἀργύριον, πρὶν μεταδόξαι τι Ἀθηνογένει. συναγαγὼν δ' ἐγὼ 5
πανταχόθεν καὶ τοὺς φίλους ἐνοχλήσας καὶ θεὶς ἐπὶ τὴν τρά-
πεζαν τὰς τετταράκοντα μνᾶς ἧκον ὡς τὴν Ἀντιγόναν· κἀκείνη
σ[υνήγα]γεν ἡμᾶς εἰς τὸ αὐτό, ἐμέ τε καὶ Ἀθηνογένην, καὶ
διήλλαξε, καὶ παρεκελεύσατο τοῦ λοιποῦ εὖ ποιεῖν ἀλλήλους.
καὶ ἔγωγ' ἔφην ταῦτα ποιήσειν, καὶ Ἀθηνογένης οὑτοσὶ
ὑπολαβὼν εἶπεν ὅτι τῶν πεπραγμένων δεῖ με χάριν ἔχειν
Ἀντιγόνᾳ· καὶ νῦν, ἔφη, ταύτης ἕνεκα ἤδη σοι ἐνδείξομαι
ὅσα [σε] ἀγαθὰ ποιήσω. σὺ μὲ[ν γάρ], ἔφη, [τὸ] ἀργύριον
ἐπ' ἐλευθερίᾳ καταβαλ[εῖ]ς τ[οῦ] Μίδου καὶ τῶν παίδων, ἐγὼ
δέ σοι ἀποδώσομαι αὐτοὺς ὠνῇ καὶ πράσει, ἵνα π[ρ]ῶτον μὲν
μηδείς [π]α[ρε]νοχλῇ μηδὲ διαφθείρῃ τὸν Μίδαν, εἶτ' αὐτοί
[μὴ] ἐγχειρῶσι [πο]νηρε[ύε]σθαι μηδὲν διὰ τὸν φό[βον. τ]ὸ 6
δὲ μέγιστον, νῦν μὲν ἂν δόξειαν δι' ἐμὲ γεγονέναι ἐλεύθεροι, [col. 3
ἐὰν δὲ πριάμενος σὺ ὠνῇ καὶ πράσει εἶθ' ὕστερον, ὅτε ἄν σοι
δοκῇ, ἀφῇς αὐτοὺς ἐλευθέρους, διπλασίαν ἕξουσίν σοι τὴν
χάριν. ὅσον μέντοι ὀφείλουσιν ἀργύριον, μύρου τέ τινος
τιμὴν Παγκάλῳ καὶ Προκλεῖ καὶ εἴ τι ἄλλο κατέθετό τις ἐπὶ
τὸ μυροπώλιον τῶν προσφοιτώντων, οἷα γίγνεται, ταῦτα,

1 μεταπεμψαμένη] γαρ superscr. 𝔭[1] (super erasum aliquid), per errorem; retinet autem B 8 ὡς] ως εις 𝔭* : εις del. 𝔭[1] 9 συνήγαγεν R W 11 ἔγωγ'] ἐγώ τ' 𝔭*, ut vid., B : ἔγωγ' 𝔭[1] ante Ἀθην. lacuna ad unam litteram vix idonea 14 σε B D γὰρ ἔφη τὸ D R B : ὡς ὀφλὼν W (sed ε paene certum est) 15 καταβάλ[λει]ς D R B : κατάβαλ[λ]ε W ; spatium vid. 2 litt. esse τοῦ W B : τῆι D R 16 πρῶτον D R B, quod cum reliquiis convenit 17 παρενοχλῆι B : [σε ἐ]νοχληι R, sed littera altera videtur α esse μι|δας 𝔭*, corr., ut vid., 𝔭[1] εἶτ' B recte, nam ε et τ in 𝔭 cognosci possunt) : μηδ' W D 18 μη B : ἅμ' D R : δὴ W ἐγχειρῶσι[ν θ]ηρεύεσθαι D R : πονηρεύεσθαι W B φό[βον σου· τ]ὸ W, fortasse nimium ; spatium post φόβον aliquantum vacuum relictum esse verisimile est 22 χαραν 𝔭*, corr. 𝔭[2]

ἔφη, σὺ ἀναδέξῃ· ἔστιν δὲ μικρὰ κομιδῇ καὶ πολλῷ πλείω
φορτία ἐστὶν τούτων ἐν τῷ ἐργαστηρίῳ, μύρον καὶ ἀλά-
βαστροι καὶ ζμύρνα, καὶ ἄλλ' ἄττα ὀνόματα λέγων, ὅθεν
7 πάντα ταῦτα δ[ιαλυθ]ήσεται ῥᾳδίως. ἦν δέ, ὦ ἄνδρες
δικασταί, ὡς ἔοικεν, ἐνταῦθα ἡ ἐπιβουλὴ καὶ τὸ πλάσμα
τὸ μέγα. εἰ μὲν γὰρ ἐπ' ἐλευθερίᾳ καταβάλλοιμι αὐτῶν τὸ
ἀργύριον, τοῦτο μόνον ἀπώλλυον ὃ δοίην αὐτῷ, ἀλλ' οὐδὲν
δεινὸν ἔπασχον· εἰ δὲ πριαίμην ὠνῇ καὶ πράσει, ὁμολογήσας
αὐτῷ τὰ χρέα ἀναδέξασθαι, ὡς οὐθενὸς ἄξια ὄντα, διὰ τὸ μὴ
προειδέναι, ἐπάξειν μοι ἔμελλεν ὕστερον τοὺς χρήστας καὶ τοὺς
πληρωτὰς τῶν ἐράνων ἐν ὁμολογίᾳ λαβών· ὅπερ ἐποίησεν.
8 ὡς γὰρ εἰπόντος αὐτοῦ ταῦτα ἐγὼ προσωμολόγησα, εὐθὺς ἐκ
τῶν γονάτων λαβὼν τῶν αὑτοῦ γραμματεῖον τ[ὸ ἐγγ]εγραμ-
[μ]ένον ἀνεγίγνωσκεν. ἦσαν δὲ αὗται συνθῆκαι πρὸς ἐμέ·
col. 4] ὧν ἐγὼ ἀναγιγνωσκομένων μὲν ἤκουον, ἔσπευδον μέντοι ἐφ'
ὃ ἧκον τοῦτο διοικήσασθαι, καὶ σημαίνεται τὰς συνθήκας
εὐθὺς ἐν τῇ αὐτῇ οἰκίᾳ ἵνα μηδεὶς τῶν εὖ φρονούντων
ἀκούσαι τὰ ἐγγεγραμμένα, προσεγγράψας μετ' ἐμοῦ Νίκωνα
9 τὸν Κηφισιέα. ἐλθόντες δ' ἐπὶ τὸ μυροπώλιον τὸ μὲν
γραμματεῖον τιθέμεθα παρὰ Λυσικλεῖ Λευκονοιεῖ, τὰς δὲ
τετταράκοντα μνᾶς ἐγὼ καταβαλὼν τὴν ὠνὴν ἐποιησάμην.
τούτου δὲ γενομένου προσῄεσάν μοι οἱ χρῆσται οἷς ὠφείλετο
παρὰ τῷ Μίδᾳ καὶ οἱ πληρωταὶ τῶν ἐράνων καὶ διελέγοντό
μοι· καὶ ἐν τρισὶν μησὶν ἅπαντα τὰ χρέα φανερὰ ἐγεγόνει,
ὥστ' εἶναί μοι σὺν τοῖς ἐράνοις, ὅπερ καὶ ἀρτίως εἶπον, περὶ
10 πέντε τάλαντα. ὡς δ' ᾐσθόμην οὗ ἦν κακοῦ, τότ' ἤδη τοὺς
φίλους καὶ τοὺς οἰκείους συνήγαγον καὶ τὰ ἀντίγραφα τῶν
συνθηκῶν ἀνεγιγνώσκομεν· ἐν αἷς ἐγέγραπτο μὲν τὸ τοῦ
Παγκάλου καὶ τοῦ Πολυκλέους ὄνομα διαρρήδην, καὶ ὅτι
μύρων τιμαὶ ὠφείλοντο, ἃ ἦν βραχέα τε καὶ ἐξῆν αὐτοῖς

4 διαλυθήσεται W B 9 ἀναδέξεσθαι B, contra 𝔓 13 γραμματεῖον] πραγματ . .|ον 𝔓, corr. D τι τὸ ἐγγεγραμμένον B, δὴ προγ. D R 19 κηφισεα 𝔓, corr. B 20 λευκονοει 𝔓 : Λευκονοιεύς inscriptiones plerumque

εἰπεῖν ὅτι τὸ μύρον ἄξιον εἴη τοῦ ἀργυρίου τὸ ἐν τῷ ἐργα-
στηρίῳ, τὰ δὲ πολλὰ τῶν χρεῶν καὶ τὰ μέγιστα οὐκ ἐνεγέ-
γραπτο ἐπ' ὀνομάτων, ἀλλ' ἐν προσθήκης μέρει ὡς οὐδὲν [col. 5
ὄντα, 'καὶ εἴ τῳ ἄλλῳ ὀφείλει τι Μίδας.' καὶ τῶν ἐράνων 11
εἷς μὲν οὖν, Δικαιοκράτης, ἐνεγέγραπτο, οὗ ἦσαν λοιπαὶ
τρεῖς φοραί· οὗτος μὲν ἐπὶ τοῦ Δικαιοκράτους ὀνόματος ἦν
γεγραμμένος, οἱ δ' ἄλλοι, ἐφ' οἷς εἰλήφει πάντα ὁ Μίδας,
νεοσύλλογοι δ' ἦσαν, τούτους δ' οὐκ ἐνέγραψεν ἐν ταῖς
συνθήκαις, ἀλλ' ἀπεκρύψατο. βουλευομένοις δ' ἡμῖν ἔδοξεν 12
πορεύεσθαι πρὸς τοῦτον καὶ διαλέγεσθαι. καὶ καταλαβόντες
αὐτὸν πρὸς τοῖς μυροπωλίοις ἠρωτῶμεν εἰ οὐκ αἰσχύνοιτο
ψευδόμενος καὶ ἐνεδρεύσας ἡμᾶς ταῖς συνθήκαις, οὐ προειπὼν
τὰ χρέα. ὁ δ' ἀπεκρίνατο ἡμῖν ὡς οὔτε τὰ χρέα γιγνώσκοι
ἃ λέγομεν, οὔτε προσέχοι ἡμ[ῖν] τὸν νοῦν, γραμματεῖόν τ' εἴη
αὐτῷ κείμενον πρὸς ἐμὲ περὶ τούτων. πολλῶν δ' ἀνθρώπων
συλλεγομένων καὶ ἐπακουόντων τοῦ πράγματος, διὰ τὸ ἐν
τῇ ἀγορᾷ τοὺς λόγους γίγνεσθαι, καὶ κατατεμνόντων αὐτόν,
κελευόντων τ' [ἀπάγ]ειν ὡς ἀνδραποδιστήν, [τοῦτο μ]ὲν οὐκ
οἰόμεθα δεῖν ποιεῖν, πρ[οσκαλού]μεθα δὲ αὐτὸν εἰς ὑμᾶς κατὰ
τὸν νόμον. πρῶτον μὲν οὖν ὑμῖν τὰς σ[υνθή]κας ἀναγνώ-
σεται· ἐ[ξ αὐτῶ]ν γὰρ τῶν γεγραμμένων μαθήσεσθε τὴν [col. 6
ἐπιβουλὴν αὐτοῦ τούτου. λέγε τὰς συνθήκας.

ΣΥΝΘΗΚΑΙ

Τὰ μὲν τοίνυν πεπραγμένα, ὦ ἄνδρες δικασταί, καθ' ἓν 13
ἕκαστον ἀκηκόατε. ἐρεῖ δὲ πρὸς ὑμᾶς αὐτίκα μάλα Ἀθη-
νογένης ὡς ὁ νόμος λέγει, ὅσα ἂν ἕτερος ἑτέρῳ ὁμολογήσῃ
κύρια εἶναι. τά γε δίκαια, ὦ βέλτιστε· τὰ δὲ μὴ τοὐναντίον
ἀπαγορεύει μὴ κύρια εἶναι. ἐξ αὐτῶν δέ σοι τῶν νόμων ἐγὼ

5 οὗ pro οὖν B, sed ν non deletum est in 𝔭, ut putat Δικαιοκράτης seclusit W 14 προεχοι 𝔭*, προσεχοι 𝔭¹ : προσέχοι ἡμ[ῖν] B : προσσχοίη μοι R W 18 δ' 𝔭* : τ' 𝔭¹ ἀπάγειν B W R : negat de Ricci [τοῦτο μὲ]ν B W : [θόρυβο]ν D R 19 οἰόμεθα 𝔭 : ᾠόμεθα W B προσκαλούμεθα Reinach W : προσεγκαλούμεθα R : προσεκαλεσάμεθα B 21 ἐξ αὐτῶν R

φανερώτερον ποιήσω. καὶ γὰρ οὕτω με διατέθεικας καὶ περί-
φοβον πεποίηκας μὴ ἀπόλωμαι ὑπό σου καὶ τῆς δεινότητος
τῆς σῆς, ὥστε τούς τε νόμους ἐξετάζειν καὶ μελετᾶν νύκτα
14 καὶ ἡμέραν, πάρεργα τἄλλα πάντα ποιησάμενον. ὁ μὲν τοίνυν
εἷς νόμος κελεύει ἀψευδεῖν ἐν τῇ ἀ[γορᾷ], πάντων, οἶμαι,
παρά[γγελ]μα κάλ[λιστο]ν παραγγέλλων· σὺ [δὲ ψε]υσά-
μενο[ς ἐν] μέσῃ τῇ ἀγορᾷ συν[θήκα]ς κατ' ἐμ[οῦ ἔθ]ου. ἐπεὶ
ἐὰν δ[είξῃς προει]πὼν ἐμ[οὶ το]ὺς ἐράνους [καὶ τὰ χρέα, ἢ
ἐγγράψας ταῖς συν]θήκαις ὅσους [ηὗρον ὄντας, οὐκέτ' ἐγκαλ]ῶ
15 σοι ἀλλ' ὁμολογῶ [ὀφείλειν. μετὰ δὲ] ταῦτα ἕ[τερο]ς νόμος
col. 7] [ἐστὶ περὶ ὧν ὁμολογοῦν]τες ἀλλήλοις συμβάλλουσιν, ὅταν
τις πωλῇ ἀνδράποδον προλέγειν ἐάν τι ἔχῃ ἀρρώστημα, εἰ
δὲ μή, ἀναγωγὴ τούτου ἐστίν. καίτοι ὅπου τὰ παρὰ τῆς
τύχης νοσήματα ἂν μὴ δηλώσῃ τις πωλῶν οἰκέτην ἀνάγειν
ἔξεστι, πῶς τά γε παρὰ σοῦ ἀδικήματα συσκευασθέντα οὐκ
ἀναδεκτέον σοί ἐστιν; ἀλλὰ μὴν τὸ μὲν ἐπίληπτον ἀνδρά-
ποδον οὐ προσαπολλύει τοῦ πριαμένου τὴν οὐσίαν, ὁ δὲ
Μίδας, ὃν σύ μοι ἀπέδου, καὶ τὴν τῶν φίλων τῶν ἐμῶν
16 ἀπολώλεκε. σκέψαι δέ, ὦ Ἀθηνόγενες, μὴ μόνον περὶ
τῶν οἰκετῶν, ἀλλὰ καὶ περὶ τῶν ἐλευθέρων σωμάτων ὃν
τρόπον οἱ νόμοι ἔχουσιν. οἶσθα γὰρ δήπου καὶ σὺ καὶ ἄλλοι
πάντες ὅτι οἱ ἐκ τῶν ἐγγυητῶν γυναικῶν παῖδες οὗτοι γνήσιοί
εἰσιν. ἀλλὰ μὴ[ν οὐκ ἀ]πέ[χρ]ησε τῷ νομοθέτῃ τὸ ἐγγυηθῆναι
τὴν γυναῖκα ὑπὸ [τοῦ πατ]ρὸς [ἢ τοῦ ἀδ]ελφοῦ, ἀλλ' ἔγραψε
δι[αρρή]δην ἐν [τῷ νόμ]ῳ, ἣν ἂν ἐγγυήσῃ τ[ις ἐπὶ δικαίοις
δάμαρτα] ἐκ ταύτης εἶν[αι παῖδας γνησίους, ἀλλ' οὐ]κ ἐάν τις

5 ἀγορᾷ R, ex Harp. s. v. *κατὰ τὴν ἀγορὰν ἀψευδεῖν*, ubi laudantur verba *ὁ μὲν τοίνυν . . . ἀγορᾷ* ex prima oratione in Athenogenem 6–7 suppl. B 8 *δείξῃς* W *προειπὼν* R *ἐμ[οὶ τοὺ]ς* R W B, recte, ut vid. 8–9 *καὶ . . . συνθήκαις* supplevi (sequitur B, nisi quod *γράψας ἐν* mavult): *καὶ τοὺς χρήστας ἐν ταῖς σαῖς* R W 9 *εὗρον* B *ὄντας* ego *ἐγκαλῶ*] *ἀντιλέγω* B: *οὐ μάχομαι ἐγώ* R 10–11 suppl. B 23 suppl. R: *ἀλλὰ μὴ τοῦτ'* W 24 suppl. R 25–26 suppl. R ex Dem. 46. 18, ubi lex laudatur 26 *εἶν[αι]* W, *παῖδ[ας]* R legit, uterque ex papyro; illud recte legi non dubito ἀλλ' W: *καὶ δὴ* D R: *καὶ* B

ψευ[σάμενος τὴν γυναῖκα ἐγγ]υήσῃ· ἀλ[λ' οὕτως ὁ νόμος
τὰς μὲν δι]καίας ἐγγύας κ[υρίας, τὰς δὲ μὴ δικαίας ἀκύρους]
καθίστη[σιν. ἔτι δὲ καὶ ὁ περὶ] τῶν διαθηκῶν νόμος παρα- 17
πλήσιος τούτοις ἐστίν· κελεύε[ι γὰρ ἐξεῖν]αι τὰ ἑαυτοῦ δια- [col. 8
τίθεσθαι ὡς ἄν τις βούληται πλὴν [ἢ γήρως] ἕνεκεν ἢ νόσου
ἢ μανιῶν ἢ γυναικὶ πειθόμενον ἢ ὑπὸ δεσμοῦ ἢ ὑ[πὸ ἀνάγ]κης
καταληφθέντα. ὅπου δὲ οὐδὲ περὶ τῶν αὑτοῦ ἰδίων αἱ [μὴ δ]ί-
καιαι διαθῆκαι κύριαί εἰσιν, πῶς Ἀθηνογένει γε κα[τὰ τῶ]ν
ἐμῶν συνθεμένῳ τοιαῦτα δεῖ [κύρι]α εἶναι; καὶ ἐὰν μέν 18
τι[ς εἰ]ς διοίκ[ησι]ν τῶν αὑτοῦ γυναικὶ πειθόμενος διαθήκας
γράψῃ ἄκυροι ἔσονται, εἰ δ' ἐγὼ τῇ Ἀθηνογένους ἑταίρᾳ
ἐπείσθην, προσαπολωλέναι [·με] δεῖ, ὃς ἔχω μ[εγίσ]την βοή-
θειαν τὴν ἐν τῷ νόμῳ γεγραμμένην, ἀναγκασθεὶς ὑπὸ
τούτων ταῦτα συνθέσθαι; εἶτα σὺ ταῖς συνθήκαις ἰσχυρίζῃ
ἃς ἐνεδρεύσαντές με σὺ καὶ ἡ ἑ[ταίρα σ]ο[υ ἐσ]ημήνασθε,
καὶ ὑ[πὲρ ὧν διώκω νῦν βου]λεύσεως ὑμᾶς; πε[ισθεὶς γὰρ
εὔνου]ς εἶναι, ἐπὶ τούτοις προσ[εδεξάμην ἃ ἐλέγε]τε. καὶ οὐχ
ἱκανόν σοι [ἦν τὰς τετταράκοντα] μνᾶς εἰληφέναι [τὰς ὑπὲρ
τῶν δούλων], ἀλλὰ καὶ πέντε [τάλαντα προσαφείλου] με
ὥσπερ [ὑ]πο . . . . κατ]ε[ι]λημμένον.

1 τὴν γυναῖκα] μὴ ἐπὶ δικαίοις K : παρὰ τὰ δίκαια R : [ὡς αὐτοῦ θυγατέρα] ἐ. ἄλ[λοθεν οὖσαν B, omnia nimia 1-2 ἀλλὰ τὰς μὲν δι]καίας ἐγγύας κ[υρίας τὰς δὲ μὴ δικαίας ἀκύρους] καθίστη[σιν ὁ νόμος] B : ἀλ[λὰ τότε τούς τε παῖδας νόθους] καὶ ἃς ἐγγύας ἠ[γγύησεν ἀκύρους πάσας ταύτας] R 3 ἔτι δὲ B R 4 γὰρ ἐξεῖναι B 6 ἢ ὑ[πὸ ἀ.] B : ἢ ὑ πό τινος ἀ.] W 7 ου π[ερι] 𝔭*, ut vid., δε suprascr. 𝔭[1] αἱ [μὴ δ]ίκαιαι B 8 κατὰ τῶν] καὶ περὶ τῶν R W B, quod spatio et reliquiis minus convenit 9-10 suppl. R 11 γράψηι D B, recte, ut vid. : γράφηι R W 12 με W : αὖ B : οὐ D R ; illud reliquiis magis convenit μεγίστην W B : μίαν τὴν R (spatio non satis) : μόνον τὴν D 15 ἑταίρα σου D 16-17 καὶ ὑ[πὸ τῆς ὑμετέρας βου]λεύσεως, ὑμᾶς οἰό[μενος ἀξιοπίστου]ς εἶναι, ἐπὶ τούτοις προσ[εδεξάμην ἃ ἐβουλεύσα]τε R, plerumque D secutus : καὶ ὑ[πὸ γυναικείας] β[ου]λεύσεως, ὑμᾶς [π]ε[ισθεὶς εὔνου]ς εἶναι, ἐπὶ τούτοις προσ[ηκάμην οἷς ἠθέλε]τε W, spatio non semper recte aestimato 18 ἦν W: ἔδοξεν R, pro spatio nimium; cetera R τὰς ὑπὲρ τῶν δούλων] ὑπὲρ τοῦ μυροπωλίου R 19 προσαφείλου ego : ἐβούλου συληθῆναι R, quod nimium videtur : ἀπεστηρήκατε W 20 ὥσπερ ὑπο[χείριον ἐν ποδοστράβηι κατ]ειλημμένον R, ex Harpocratione, qui s. v. ποδοστράβη verbum in hac oratione inveniri dicit : ὑπὸ θηρευτοῦ ἐν π. Richards

. . . . ς οὐκ ἠδύν[ατο] . . .
19 . . . . Μίδαν αδ . . . .
. . . . σθεντα α . . . σ . . .
col. 9] . . . . . ια εἰς τὰ ἐν ἀγορᾷ, ἀτρε[κὲς] δὴ [ἐγὼ ἐν
τρισὶ] μησὶν ἅπαντα τὰ χρέα καὶ τοὺς ἐράνους ἐπυθόμην,
οὗτος δέ, ὁ ἐκ τριγονίας ὢν μυροπώλης, καθήμενος δ' ἐν τῇ
ἀγορᾷ ὅσαι ἡμέραι, τρία δὲ μυροπώλια κεκτημένος, λόγους
δὲ κατὰ μῆνα λαμβάνων, οὐκ ᾔδει τὰ χρέα. ἀλλ' ἐν μὲν
τοῖς ἄλλοις οὐκ ἰδιώτης ἐστίν, πρὸς δὲ τὸν οἰκέτην οὕτ[ως
ε]ὐήθης ἐγένετο, καί τινα μὲν τῶν χρεῶν, ὡς ἔοικεν, ᾔδει,
20 τὰ δέ φησιν οὐκ εἰδέναι, ὅσα μὴ βούλεται. ὁ δὲ τοιοῦτο[ς,
οἶμαι,] λόγος, ὦ ἄνδρες δικασταί, οὐ[κ ἀπολόγημ]ά ἐστιν,
ἀλλ' ὁμολόγημα ὡς οὐ δεῖ [με τὰ χρέα διαλ]ύειν. ὅταν
γὰρ φῇ μὴ εἰδέναι [ἅπαντα] τὰ ὀφειλόμενα, οὐκ ἔστιν αὐτῷ
δήπου τόδ' εἰπεῖν ὡς προεῖπέ μοι περὶ τῶν χρεῶν· [ὅσα δ'
ο]ὐκ ἤκουσα παρὰ τοῦ πωλοῦντος [ταῦ]τ[ά γ' οὐ δίκαιός] εἰμι
διαλύειν. ὅτι μὲν οὖν ᾔδεις, ὦ Ἀθηνόγενες, ὀφείλοντα
Μ[ίδαν] τ[ὰ πολλὰ ταῦτα] οἶμαι πᾶσιν εἶναι δῆλ[ον ἐξ ἄλλων
τε πολλ]ῶν καὶ ἐκ τοῦ αἰτεῖν . . . .
μου ἐγγυητ[ὴ]ν ε . . . . τὰ χρέα
ὄντα ἱκανὸν . . . . νο. οὐ μὲν δὴ
ἐγὼ . . . . γωι σοῦ του . . . . .
21 . . . . ς καὶ οὐκ εἰδ[έναι] . . . .
. . . . . . νος καὶ τω . . . . τουτονὶ τὸν
col. 10] . . . . [εἰ δὲ] σὺ μὲν διὰ τὸ μὴ εἰδέναι μὴ προεῖπάς [μοι]
πάντα τὰ χρέα, ἐγὼ δὲ ὅσα σου ἤκουσα ταῦτα μόνον οἰόμενος

3 ἀ[λλ' ᾧ γε] σ[πουδὴ οὐδεμ]ία R; litterae σ et α dubiae sunt; ante ι videtur τ esse, post ι, α aut δ 4 ἀτρέμα δὴ ἐγώ R: ἀτρέμα δ' ἔχων B ἐν τρισὶ R 9 οὕτως B, quod bene potest legi: αὐτίκα W: αὐτὸς R: αὐτὸν D 12 οἶμαι] αὐτοῦ R W B ἀπολόγημα Reinach W: ἀπολογία R B 13 οὐ δεῖ με τὰ χρέα διαλύειν B: οὐδ' εἶχεν οὐδὲν ὑγιὲς εἰπεῖν W: illud cum reliquiis magis convenit 14 ἅπαντα R W 15 τόδ' cum reliquiis convenit (ita de Ricci): ἅμα B W: δήπουθεν D R ὅσα δ' οὐκ R 16 ταῦτ' οὐ δίκαιος B D R: ταῦτα πῶς δίκαιος W 18 τὰ πολλὰ ταῦτα] πολλὰ καὶ μεγάλα R: τὰ χρήματα ταῦτα B δῆλον ἐξ ἄ. τε πολλῶν B: δηλ[ότατον ἔκ τε τῶν ἄλλ]ων R

εἶναι τὰς συνθήκας ἐθέμην, πότερος δίκαιός ἐστιν ἐκτεῖσαι,
ὁ ὕστερος πριάμενος ἢ ὁ πάλαι κεκτημένος ὅσ' ἐδανείζετο;
ἐγὼ μὲν γὰρ οἴομαι σέ. εἰ δ' ἄρ' ἀντιλέγομεν περὶ τούτου,
διαιτητὴς ἡμῖν γενέσθω ὁ νόμος, ὃν οὐχ οἱ ἐρῶντες οὐδ' οἱ
ἐπιβουλεύοντες τοῖς ἀλλοτρίοις ἔθεσαν, ἀλλ' ὁ δημοτικώτατος
Σόλων· ὃς εἰδὼς ὅτι πολλαὶ ὠναὶ [γίγνον]ται ἐν τῇ πόλει 22
ἔθηκε νόμον δίκαιον, ὡς παρὰ πάντων ὁμολογεῖται, τὰς ζημίας
ἃς ἂν ἐργάσωνται οἱ οἰκέται καὶ τὰ ἀ[ναλώμ]ατα διαλύειν τὸν
δεσπότην παρ' ᾧ [ἂν ἐργάσ]ωνται οἱ οἰκέται. εἰκότως· καὶ
γὰρ [ἐάν τι ἀγ]αθὸν πράξῃ ἢ ἐργασίαν εὕρ[ῃ] ὁ ο[ἰκέτης
το]ῦ κεκτημένου αὐτὸν γίγνεται. [σὺ δὲ τὸν ν]όμον ἀφεὶς περὶ
συνθηκῶν [παραβαιν]ομένων διαλέγῃ. καὶ ὁ [μὲν Σόλων, οὐδ']
ὃ δικαίως ἔγραφεν ψήφ[ισμά τις τῶν γε νόμων] οἴεται δεῖν
κυριώ[τερον εἶναι, σὺ δὲ οἴει τ]ὰς ἀδίκους συνθ[ήκας δεῖν
κρατεῖν πάντων τ]ῶν νόμων. καὶ π 23
αιτω τε πατ . . . . ηδειοισελ
. . . . . εθελ . . . .
. δ]ωρεα . . . . κε
. . τὸν δὲ Μίδαν κελεύοι με ἐὰν αὐτῷ καὶ μὴ ὠνεῖσθαι· ἐμὲ [col. 11
δ' οὐκ ἐθέλειν ἀλλὰ βούλεσθαι πάντας πρίασθαι. καὶ ταῦτα
καὶ πρὸς ὑμᾶς αὐτόν, φασίν, μέλλει λέγειν, ἵνα δὴ δοκοίη
μέτριος εἶναι, ὥσπερ πρὸς ἠλιθίους τινὰς διαλεξόμενος καὶ
οὐκ αἰσθησομένους τὴν τούτου ἀναίδειαν. τὸ δὲ γενόμενον 24
δεῖ ὑμᾶς ἀκοῦσαι· φανήσεται γὰρ ἀκόλουθον ὂν τῇ ἄλλῃ
αὐτῶν ἐπιβουλῇ. τὸν μὲν γὰρ παῖδα, ὅνπερ ἀρτίως εἶπον,

2 *ὅσ'* litterae dubiae: *ὃs* R : *ὅσ'* W : *ὅ[τ']* B 6 *ὠναὶ*] *ηδοναι* 𝔭*, corr. 𝔭¹ *γίγνονται* B W : *ψεύδονται* D R 8 *ἃs ἂν* B W : *ἐὰν* R *ἀναλώματα* R B : *ἁμαρτήματα* W 9 *παρ'*] *εν* 𝔭*, corr. 𝔭² *ἂν ἐργάσωνται* W B : *ἂν ἐργάζωνται* R 10 *εὕρ[ηι] ὁ ο[ἰκέτης* B. recte, saltem quod ad *οο* in 𝔭 attinet : *εὐροοῦσαν θῆι* D R 11 *σὺ δὲ τὸν*] *τοῦτο. Ὃν* D R 12 *παραβαινομένων* D : *ἐπιβουλευομένων* R : *ἐπιβεβουλευμένων* B, sed *ο* certum est 12–13 *μὲν . . . τις* suppl. B, praeter *εἴ τις* pro *ὃ* : sed littera ante *δικ.* certe *ο* fuit : fortasse *τὸ δικ. γραφὲν ψήφ.* legendum, ut B antea 13 *ψήφισμα οὐδενὸς νόμου* B 14–15 *σὺ δὲ . . . πάντων* suppl. B. Post *νόμων* spatium est in 𝔭 19 *κελεύο[ι]* 𝔭 : *κελεύειν* R 21 *μέλλειν* W B

ἔπεμπέ μοι λέγοντα ὅτι οὐκ [ἂν συν]είη μ[οι, ἂν μὴ ὠν]ῶμαι
αὐτοῦ τὸν πατέρα καὶ τὸν ἀδελφόν. ἤδη δ' ἐμοῦ ὡμολογη-
κότος [ἀντ' αὐτῶν κα]ταθήσειν, τριῶν ὄν[των], τὸ ἀ[ργύριον,
προ]σελθὼν ὁ Ἀθηνογένης πρό[ς τινας τῶν] φίλων τῶν ἐμῶν
[ἐ]βού[λ]ε[το γενόμενος ἐ]πικρατὴς πράγματα ἔχειν [ἐμὲ . . .
25 . . . λα]βόντι τὸν παῖδα χρῆσθ[αι] . . . . τὴν μὲν
συκοφα[ντίαν . . . . ἐ]ποιεῖτο τῷ δὲ λ[. . . .
. . . . ἀ]δικημάτων κα[. . . . .
ἐπ]ίστευσα [ὡ]ς ε[. . . . . τὸ]ν μὲν
παῖδα δι[. . . .]ν οὐκ ἤθελον
[. . . .] οὖν τετ[ταρά-
κοντα μνᾶς . . . . πέν]τε τάλα[ντα . . . .

[Desunt versus duo.]

col. 12] [οὔτε μυροπώλη]ς εἰμὶ οὔτ' ἄλλην τέχνην ἐργάζο[μαι, ἀλ]λ'
26 ἅπερ ὁ πατήρ μοι ἔδωκεν χωρία [ἐν . . .]ειτη γεωργῶ,
πρ[ὸς] δὲ τούτων εἰς τὴν ὠνὴν ἐνεσείσθην. πότερα [γὰρ
εἰκός ἐσ]τιν, ὦ Ἀθηνόγενες, ἐμὲ τῆς σῆς [τέχνης ἐπιθ]υμῆσαι,
ἧς οὐ[κ] ἤμην ἔμπει[ρος, ἢ σὲ καὶ τ]ὴν ἑταίραν τοῖς ἐμοῖς
27 ἐπι[βουλεῦσαι]; ἐγὼ μὲν γὰρ οἴομαι ὑμᾶς. δι[ὰ ταῦτ'], ὦ
ἄνδρες δικασταί, ἐμοὶ μὲν ἂν εἰ[κότως συγγνώ]μην ἔχο[ι-
τ' [ἀ]πα[τη]θῆναι . . . . καὶ ἀτυχῆσαι τ[οιού]τῳ
[ἀνθρώπῳ περ]ιπεσόντα Ἀθην[ογένει . . .

[Desunt versus fere sedecim.]

col. 13] ενε . . . . . . ντα ἐμοὶ εἶναι, τὰ δὲ τῆς ἀπάτ[ης κέρδη αὐτ]ῷ·
καὶ τὸν μὲν Μίδαν τὸν τολ . . . . ξαι, ὃν ἄκων

1 ἂν συνείη μοι B (ειηι μ 𝔭, ut vid.) ἂν μὴ ὠν. B : . . . υσομαι de Ricci 3 ἀντ' αὐτῶν W : τῶν παίδων R : αὐτῶν B ὄντων K B : ὁμ[οῦ πᾶ]ν R : ὁμ[οῦ ὅσ]ον W 4 τινας D 5 ἐβούλετο D : ἐπεβούλευσε R, pro spatio nimis γενόμενος] ὡς ὢν D R : B temptat '[τί] βούλε[ται].' ἔφη, '[Ἐ]πικράτης πράγματα ἔχειν ᾧ ἔξεστι 6 χ[ρ]ησθ[αι] recte B, ut vid. 11–12 suppl. D 13 οὔτε D : fortasse οὔτε γὰρ μυροπώλης R Fragmentum novum huc rettulit de Ricci 14 ειτη 𝔭, ut vid., antea π, μ, vel simile quid 15 πρὸς] ita 𝔭, ut vid. : ὑπὸ B D : τῆι δὲ τ. ἑταίραι R γὰρ εἰκός B : νὴ Δία εἰκός W : πιθανώτερα R 16 τέχνης W B : ἐργασίας R 17 οὐκ ἤμην legit de Ricci ἢ σε καὶ τὴν W 18 ἐπιβουλεῦσαι D διὰ ταῦτ'] διόπερ B 19 ἂν εἰ[κότως συγγνώ]μην ἔχοι[τε] B 20–21 suppl. de Ricci 22 κέρδη αὐτῷ R

φησὶν ἀπολῦσαι, τουτ . . . . ειν, τοῦ δὲ παιδὸς [ὃν]
τότε προῖκ[ά μοι ἔφη] διδόναι, νῦν αὐτ[ὸν] λαβεῖν ἀργύρ[ιον
πολὺ πλέ]ον τῆς ἀξίας, οὐχ ὥστε ἐμὸν εἶν[αι, ἀλλ' ὥστε
ὑ]φ' [ὑμῶν] τῇ ψήφῳ ἐλεύθερον ἀφ[εθῆναι] . . . . . . μέντοι 28
οὐκ ἀξιῶ προσ . . . . μωθῆναι ὑπ' Ἀθη-
νογένους . . . . δεινὸν συμβαίνοι μοι, ὦ ἄνδρες
δικασταί, εἰ μ . . . . ος . . . . ειο . . . . ν ἥμαρτο
. . . . . . δι . . . . κ . . . . . ια δε κ . . . . . . ου
. . . . ιο . . . . κηκεν . . . . θε . . . .
. . . . ἀδικήσας π . . . .
τιμήματι δ . . . . π . . . . . ται πολιτ . . .
. . . . νος ἐγὼ ὅτ . . . . . .

[Desunt versus fere decem.]

ώτατοι τῶν μετοίκων ἀφ . . . . χεσθαι. ἐν δὲ [col. 14
τῷ πολέμῳ τῷ πρὸς Φίλιππον μικρὸν πρὸ τῆς μάχης ἀπέδρα 29
τὴν πόλιν, καὶ μεθ' ὑμῶν μὲν οὐ συνεστρατεύσατο εἰς Χαιρώ-
νειαν, ἐξῴκησε δὲ εἰς [Τροι]ζῆνα, παρὰ τὸν νόμον ὃς κελεύει
ἔνδ[ειξιν] ε[ἶναι] καὶ ἀπαγωγὴν τοῦ ἐξοικήσαντος ἐν τῷ
πολέμῳ, ἐὰν πάλιν ἔλθῃ. καὶ ταῦ[τ' ἐποί]ει τὴν μὲν ἐκείνων
πόλιν, ὡς ἔοικε, [περιέ]σε[σθ]αι ὑπολαμβάνων, τῆς δὲ ἡμε[τέρας
θά]να[το]ν καταγνο[ύς]. καὶ τὰς θυγατέρας [οὐκ ἐν] τῇ παρ'
ὑμῖν εὐδα[ιμον]ίᾳ ἐκθρέψα[ι ἠξίου, ἀλλ'] ἐξέδωκ[εν] α[ὐτά]ς, ὡς
πάλιν η . . . . ἐργασόμε[νος ἐπ]εὶ εἰρήνη γέ[γονεν].
τ[αῦτ]α γὰρ ὑμ . . . . ασιν οἱ χρησ . . . . υτοι 30
πο . . . . τῇ εἰρήνῃ χρ . . . . πω . . . .
ἐν τοῖς κινδ[ύνοις] . . . . π . . . . μὲν ἐν Πλατα[ιαῖς]

2 μοι ἔφη ego αὐτὸν B 3 πολὺ πλέον B ([πλε]ιον 𝔭) 3–4 εἶναι . . . ὑμῶν suppl. B 4 ἀφεθῆναι D 13 ἀπολεμώτατοι D R (littera ante ω potest μ, ν, vel π esse, non κ): quod sequitur suppl. D ἀφ[ύλακτοι ἔ]πεσθαι, sed littera ante εσθαι videtur χ esse 14 ἀπέδρα B antea, recte ut vid.: ἀπέλιπε cett. 17 ἔνδειξιν εἶναι R 18 ἐποίει R 19 περιέσεσθαι W B: περιποιήσεσθαι D R 20 θάνατον καταγνούς K B: [πεφευγέναι pro spatio nimium) τὴ]ν κατάγνω[σιν] R: [δεῖν θά]να[τον] καταγνῶ[ναι] W. Cf. Or. ii, c. 8 [οὐκ ἠγγ]ύη[σε] παρ' ὑμῖν οὐδὲ [τέκ]να W: θυγα[τέρας ἠγγύα οὐχ] ὑμῖν D R: [ἃς ἐ]ξῆ[ν] παρ' ὑμῖν ἐγδ[ιδό]ναι B. Dedi quod in 𝔭 exstare videtur

. . . . δήσαντες ο . . . .
. . . . ᾿Αθ[η]νογ[έν] . . π . . . .
. . . χειν . . . . . νω . . . . το
. . . . . . υθ . . . .

[Desunt versus fere sex.]

col. 15] [κα̣τα τὰς] κοινὰς τῆς πόλεως συνθήκας παραβὰς ταῖς ἰδίαις
31 ⟨ταῖς⟩ πρὸς ἐμὲ ἰσχυρίζεται, ὥσπερ ἄν τινα πεισθέντα ὡς ὁ
τῶν πρὸς ὑμᾶς δικαίων καταφρονήσας οὗτος ἂν τῶν πρὸς ἐμὲ
ἐφρόντιζεν· ὃς οὕτω πονηρός ἐστι καὶ πανταχοῦ ὅμοιος ὥστε
καὶ εἰς Τροιζῆνα ἐλθὼν καὶ ποιησαμένων αὐτὸν Τροιζηνίων
πολίτην, ὑποπεσὼν Μνησίαν τὸν ᾿Αργεῖον καὶ ὑπ᾿ ἐκείνου
κατασταθεὶς [ἄρχω]ν, ἐξέβαλεν τοὺς πολίτας ἐκ τῆς πόλεως,
32 ὡς ὑμῖν αὐτοὶ μαρτυρήσουσιν· ἐνθάδε γὰρ φεύγουσιν. καὶ
ὑμεῖς μέν, ὦ ἄνδρες δικασταί, ἐκπεσόντας αὐτοὺς ὑπεδέ-
ξασθε καὶ πολίτας ἐποιήσασθε καὶ τῶν ὑμετέρων ἀγαθῶν
πάντων μετέδοτε, ἀπομνημονεύσαντες τὴν εὐεργεσίαν τὴν
πρὸς τὸν [β]άρ[β]αρον δι᾿ ἐτῶν πλειόνων [ἢ πε]ντήκοντα καὶ
ἑκατόν, καὶ οἰόμενοι [δεῖν] τοὺς ἐν τοῖς κινδύνοις ὑμῖν χρησί-
μους [γε]νομένους τούτους ἀτυχοῦντας [κουφ]ισ[θῆναι] ὑφ᾿
ὑμῶν. οὗτος δὲ ὁ μιαρός, [ὁ] ἀφεὶς ὑμᾶς κἀκεῖ ἐγγραφείς,
οὔτε τῆς πολιτείας [οὔτε τοῦ πλήθο]υς τῆς πόλεως οὐδέν᾿
[ἔ]τι ἐ[ποιεῖτο λόγ]ον ἀλλ᾿ οὕτως ὠμῶς τοῖς ὑπο[δεξαμένοις
α]ὐτὸν ἐχρήσατο ὥστε . . . στα . . . . το ἐν τῇ
ἐκκλησίᾳ . . . . ματα του . . . . . .
. . . .
col. 16] ραν δεδιὼς . . . . . . ν . . τ . . ετ . . εν. καὶ ταῦτα ὅτι
33

5 ταῖς] τας 𝔓*, ι fortasse supra scripto 6 ταῖς addidi 11 ἄρχων R 16 ἢ om. R et W, sed spatium aliquid flagitat 17 δεῖν R τοὺς] τότε legit de Rieci 18 γενομένους R [κουφ]ισ[θῆναι] W dubitanter: [ξεν]ισ[θῆναι] Reinach: [χα]ρισ[θῆναι] R; in ectypo littera φ vera videtur, vix autem in ipso papyro 19 ὁ D R: ὁ δὴ W, sed spatium vetat 20 οὔτε τοῦ πλήθους W: οὔτε ἄντικρυς D: οὔτε τῆς εὐνουσ⟨τά⟩της B οὐδένα πεφύλαχε νόμον D: οὐδὲν πεφρόντικε πλέον W: οὐδὲν ἀπεδείξατο ἄξιον B 21 ὠμῶς] ομως 𝔓*, corr. 𝔓? ὑποδεξαμένοις B, recte ut videtur: τῆς δεξαμένης W: τῆς πόλεως ὑφ᾿ ἑαυτὸν ἐποιήσατο R 24 desitne versus annon incertum

ἀληθῆ λέγω, ἀναγνώσεται ὑμῖν πρῶτον μὲν τὸν νόμον ὃς οὐκ ἐᾷ τοὺς μετοίκους ἐξοικεῖν ἐν τῷ πολέμῳ, ἔπειτα τὴν Τροιζηνίων μαρτυρίαν, πρὸς δὲ τούτοις τὸ τῶν [αὐτῶν ἐκείνω]ν ψήφισμα ὃ ἐψηφίσαντο τῇ πόλει τῇ ὑμετέρᾳ, δι' ὃ ὑμεῖς αὐτοὺς [ὑπεδέξασθε] καὶ πολίτας ἐποιήσασθε. ἀνάγνωθι.

[ΝΟΜΟΣ] ΜΑΡΤΥΡΙΑ [ΨΗΦΙΣΜ]Α

λα[βέ μοι νῦν καὶ τὴ]ν τοῦ κηδ[εστ]οῦ αὐτοῦ μα[ρτυρίαν] 34
. . . . . . μεν ουσια . . . . . ι λατ . . . πα . . . .
τα λειφθέν[τα . . . . αδ . . . . : . . ξης
πάλιν ω . . . . . α . . . . . π . . . . [τὴ]ν 'Αντιγόν[αν] . . . . ε . . . . μαρτ[υρ] . . .
. . . .

[Desunt versus fere decem.]

[ἀκηκόατε μὲν οὖν, ὦ ἄνδρες δικασταί, τὰ ὑπὸ τούτων πρα]- 35
χθέντα καὶ ὃν τρόπον ἐ[πεβούλευσεν ἐ]μοὶ 'Αθηνογένης, καὶ [col. 17
ὡς ὑμῖν π[ροδότης εὕρη]ται. τὸν δὴ καὶ ἰδίᾳ πονηρὸν [καὶ τῆς πόλε]ως τὴν σωτηρίαν ἀπελπίσαν[τα καὶ τὸ κοινὸν] ἐγκαταλιπόντα, καὶ παρ' οὓς ἐξ[ῴκησεν πολλοὺς] ἀναστάτους ποιήσαντα, [τοῦτον ὑποχείριον] εἰληφότες οὐ κολάσετε; κ[ἄγωγε, 36
ὦ ἄνδρες δι]κασταί, δέομαι ὑμῶν . . . .
με ἐκεῖνο σκεψαμέ[νους . . . . τα]ύτῃ τῇ δίκῃ . . . . ιν ἐλεεῖν οὐ τὸν φ . . . . .
. . . . [ἐὰ]ν ἁλῶ οὐδὲν πάσχω[ν] . . . .
. . . . δε τοτ . . τι παλ . . . .

3 αὐτῶν ἐκείνων] Τροιζηνίων B 5 ὑπεδέξασθε R 7 suppl. R κηδ[εστοῦ τ]οῦ R W, sed spatium non sufficit 8 πα] vel τια 13 ἀκηκόατε . . . τούτων restitui exempli gratia 14 ἐπιβεβούλευκεν W B : ἐπεβεβουλεύκει R 15 προδότης R εὕρηται D καὶ τῆς πόλεως D 16 τὸ κοινὸν] ὑμᾶς R B : τὴν χώραν W 17 ἐξῴκησεν W : ἐξῴκει R πολλοὺς] τούτους R, om. B 18 τοῦτον ὑποχείριον] τοῦτον κρινόμενον W (ex Or. ii, c. 11 ; ibi autem κρινόμενον non per se stat, sed cum verbis τὸ τρίτον coniungitur) : τοῦτον ὑμεῖς νῦν B καὶ ἔγωγε D R : καὶ ἐγώ B 21 ἐλεεῖν B : ἐλεεινὸν D : ἐλθεῖν R W 22 πάσχω[ν] W D : πάσχε[ιν] B ; in 𝔭 videtur ω esse

. . . δ' ἂν ἀ[πο]φύγῃ με . . . .
υμαι. οὐ γὰρ ἂν δ . . . .
ν οὐδὲ [π]ολλοστ . . . . αν . . .
αιαχ . . . . ὦ] ἄνδρ[ες
δικ]αστ[αί, ... ς ἐξ α[ὐτ]ῶν τ . . .
. . . .

[Desunt versus octo vel minus.]

2. οὐ] σὺ legit de Ricci.

Fragmentum quod sequitur fortasse in extrema columna duodecima locandum est; quam opinionem B. quoque probat.

. . . . αυτησ . . . . λεκεν αλλο . . .
. . . . τα πέπονθεν τ . . . . ν αναλωμ
. . . .
αλυσιτ . . . . [ὀ]φείλουσ[ι] . . . .
. . [π]ωποτε ἀπέλυσεν . . . . [ὦ ἄνδ]ρες δικασ[ταί, οὐ]
δεῖ συ[γγνώμην ἔχειν] . . . . του . . . .
. . . . κατα

In margine sinistro columnae sequentis videntur reliquiae paucae, quarum litterae ιδια solae certe legi possunt.

Alia fragmenta quattuor nil nisi litteras paucissimas servant.

IV (III)

ΥΠΕΡ ΕΥΞΕΝΙΠΠΟΥ ΕΙΣΑΓΓΕΛΙΑΣ ΑΠΟΛΟΓΙΑ ΠΡΟΣ ΠΟΛΥΕΥΚΤΟΝ

Ἀλλ' ἔγωγε, ὦ ἄνδρες δικασταί, ὅπερ καὶ πρὸς τοὺς παρα- [col. 1
καθημένους ἀρτίως ἔλεγον, θαυμάζω εἰ μὴ προσίστανται 1
ἤδη ὑμῖν αἱ τοιαῦται εἰσαγγελίαι. τὸ μὲν γὰρ πρότερον
εἰσηγγέλλοντο παρ' ὑμῖν Τιμόμαχος καὶ Λεωσθένης καὶ
Καλλίστρατος καὶ Φίλων ὁ ἐξ Ἀναίων καὶ Θεότιμος ὁ
Σηστὸν ἀπολέσας καὶ ἕτεροι τοιοῦτοι· καὶ οἱ μὲν αὐτῶν ναῦς
αἰτίαν ἔχοντες προδοῦναι, οἱ δὲ πόλεις Ἀθηναίων, ὁ δὲ
ῥήτωρ ὢν λέγειν μὴ τὰ ἄριστα τῷ δήμῳ. καὶ οὔτε τούτων 2
πέντε ὄντων οὐδεὶς ὑπέμεινε τὸν ἀγῶνα, ἀλλ' αὐτοὶ ᾤχοντο
φεύγοντες ἐκ τῆς πόλεως, οὔτ' ἄλλοι πολλοὶ τῶν εἰσαγγελ- [col. 2
λομένων, ἀλλ' ἦν σπάνιον ἰδεῖν ἀπ' εἰσαγγελίας τινὰ κρινό-
μενον ὑπακούσαντα εἰς τὸ δικαστήριον· οὕτως ὑπὲρ μεγάλων
ἀδικημάτων καὶ περιφανῶν αἱ εἰσαγγελίαι τότε ἦσαν. νυνὶ 3
δὲ τὸ γιγνόμενον ἐν τῇ πόλει πάνυ καταγέλαστόν ἐστιν.
Διογνίδης μὲν καὶ Ἀντίδωρος ὁ μέτοικος εἰσαγγέλλονται
ὡς πλέονος μισθοῦντες τὰς αὐλητρίδας ἢ ὁ νόμος κελεύει,
Ἀγασικλῆς δ' ὁ ἐκ Πειραιέως ὅτι εἰς Ἁλιμουσίους ἐνεγράφη,
Εὐξένιππος δ' ὑπὲρ τῶν ἐνυπνίων ὧν φησιν ἑωρακέναι· ὧν
οὐδεμία δήπου τῶν αἰτιῶν τούτων οὐδὲν κοινωνεῖ τῷ εἰσαγ- [col. 3
γελτικῷ νόμῳ.

Καίτοι, ὦ ἄνδρες δικασταί, ἐπὶ τῶν δημοσίων ἀγώνων οὐ 4
χρὴ τοὺς δικαστὰς πρότερον τὰ καθ' ἕκαστα τῆς κατηγορίας

Titulus in 𝔄 exstat. Col. 1 = col. 18 editionis Blassianae 5 ἐξ Ἀναίων] Αἰξωνεὺς coni. Schneidewin 11 ἀλλ' . . . ἰδεῖν om. 𝔄, ins. 𝔄² 14 γινόμενον 𝔄. et similia alibi, quae non amplius notavi 17 Αγησικλης 𝔄. corr. Bab. ex Harpocratione et Suida s. v.

ὑπομένειν ἀκούειν, πρὶν αὐτὸ τὸ κεφάλαιον τοῦ ἀγῶνος καὶ
τὴν ἀντιγραφὴν ἐξετάσωσιν εἰ ἔστιν ἐκ τῶν νόμων ἢ
μή· οὐ μὰ Δία οὐχ ὥσπερ ἐν τῇ κατηγορίᾳ Πολύευκτος
ἔλεγεν, οὐ φάσκων δεῖν τοὺς ἀπολογουμένους ἰσχυρίζεσθαι
τῷ εἰσαγγελτικῷ νόμῳ, ὃς κελεύει κατὰ τῶν ῥητόρων αὐτῶν
τὰς εἰσαγγελίας εἶναι περὶ τοῦ λέγειν μὴ τὰ ἄριστα τῷ
col. 4] δήμῳ, οὐ κατὰ πάντων Ἀθηναίων. ἐγὼ δὲ οὔτε πρό-
5 τερον οὐδενὸς ἂν μνησθείην ἢ τούτου, οὔτε πλείους οἶμαι
δεῖν λόγους ποιεῖσθαι περὶ ἄλλου τινός, ἢ ὅπως ἐν δημο-
κρατίᾳ κύριοι οἱ νόμοι ἔσονται, καὶ αἱ εἰσαγγελίαι καὶ αἱ
ἄλλαι κρίσεις κατὰ τοὺς νόμους εἰσίασιν εἰς τὸ δικαστήριον.
διὰ τοῦτο γὰρ ὑμεῖς ὑπὲρ ἁπάντων τῶν ἀδικημάτων, ὅσα
ἔστιν ἐν τῇ πόλει, νόμους ἔθεσθε χωρὶς περὶ ἑκάστου
6 αὐτῶν. ἀσεβεῖ τις περὶ τὰ ἱερά· γράφεται ἀσεβείας πρὸς
τὸν βασιλέα.—φαῦλός ἐστι πρὸς τοὺς ἑαυτοῦ γονεῖς· ὁ
ἄρχων ἐπὶ τούτου κάθηται.—παράνομά τις ἐν τῇ πόλει
col. 5] γράφει· θεσμοθετῶν συνέδριον ἔστι.—ἀπαγωγῆς ἄξια ποιεῖ·
ἀρχὴ τῶν ἕνδεκα καθέστηκε.—τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ
τῶν ἄλλων ἀδικημάτων ἁπάντων καὶ νόμους καὶ ἀρχὰς καὶ
7 δικαστήρια τὰ προσήκοντα ἑκάστοις αὐτῶν ἀπέδοτε. ὑπὲρ
τίνων οὖν οἴεσθε δεῖν τὰς εἰσαγγελίας γίγνεσθαι; τοῦτ'
ἤδη καθ' ἕκαστον ἐν τῷ νόμῳ ἐγράψατε, ἵνα μὴ ἀγνοῇ
μηδείς· 'ἐάν τις,' φησί, 'τὸν δῆμον τὸν Ἀθηναίων κατα-
λύῃ'—εἰκότως, ὦ ἄνδρες δικασταί· ἡ γὰρ τοιαύτη αἰτία οὐ
παραδέχεται σκῆψιν οὐδεμίαν οὐδενὸς οὐδ' ὑπωμοσίαν, ἀλλὰ
col. 6] τὴν ταχίστην αὐτὴν δεῖ εἶναι ἐν τῷ δικαστηρίῳ·—ἢ 'συνίῃ
8 ποι ἐπὶ καταλύσει τοῦ δήμου ἢ ἑταιρικὸν συναγάγῃ, ἢ ἐάν
τις πόλιν τινὰ προδῷ ἢ ναῦς ἢ πεζὴν ἢ ναυτικὴν στρατιάν,
ἢ ῥήτωρ ὢν μὴ λέγῃ τὰ ἄριστα τῷ δήμῳ τῷ Ἀθηναίων
χρήματα λαμβάνων·' τὰ μὲν ἄνω τοῦ νόμου κατὰ πάντων

1 *πρὶν ἂν* Schneidewin, Cb. 6 *μὴ*] *μη ου* $\mathfrak{A}$, *οὐ* del. Bab., edd. cett. 14 *γράφεται ἀσ.*] *γραφαι βασ.* $\mathfrak{A}^*$, *β* del. $\mathfrak{A}^2$; *γραφαὶ* sine verbo Bab., B, *εἰσὶν* add. Cb., alii 21 *οἴεσθε*] *ᾤεσθε* Cb., B 23 *καταλύσῃ* $\mathfrak{A}^*$, corr. $\mathfrak{A}^1$ 27 *ποι*] *που* $\mathfrak{A}^*$, corr. $\mathfrak{A}^1$

τῶν πολιτῶν γράψαντες (ἐκ πάντων γὰρ καὶ τἀδικήματα
ταῦτα γένοιτ' ἄν), τὸ δὲ τελευταῖον τοῦ νόμου κατ' αὐτῶν
τῶν ῥητόρων, παρ' οἷς ἔστιν καὶ τὸ γράφειν τὰ ψηφίσματα.
ἐμαίνεσθε γὰρ ἄν, εἰ ἄλλον τινὰ τρόπον τὸν νόμον τοῦτον 9
ἔθεσθε ἢ οὕτως· εἰ τὰς μὲν τιμὰς καὶ τὰς ὠφελίας ἐκ τοῦ [col. 7
λέγειν οἱ ῥήτορες καρποῦνται, τοὺς δὲ κινδύνους ὑπὲρ αὐτῶν
τοῖς ἰδιώταις ἀνεθήκατε. ἀλλ' ὅμως Πολύευκτος οὕτως
ἐστὶν ἀνδρεῖος, ὥστε εἰσαγγελίαν διώκων οὐκ ἔφη δεῖν τοὺς
φεύγοντας τῷ εἰσαγγελτικῷ νόμῳ χρῆσθαι. καὶ οἱ μὲν 10
ἄλλοι πάντες κατήγοροι, ὅταν οἴωνται δεῖν ἐν τῷ προτέρῳ
λόγῳ ὑφελεῖν τῶν φευγόντων τὰς ἀπολογίας, τοῦτο παρα-
κελεύονται τοῖς δικασταῖς, μὴ ἐθέλειν ἀκούειν τῶν ἀπολογου-
μένων, ἐάν τινες ἔξω τοῦ νόμου λέγωσιν, ἀλλ' ἀπαντᾶν πρὸς
τὰ λεγόμενα καὶ κελεύειν τὸν νόμον ἀναγιγνώσκειν· σὺ δὲ
τοὐναντίον τὴν εἰς τοὺς νόμους καταφυγὴν ἐκ τῆς ἀπολογίας [col. 8
οἴει δεῖν ἀφελέσθαι Εὐξενίππου.

Καὶ πρὸς τούτοις οὐδὲ βοηθεῖν οὐδένα φῂς δεῖν αὐτῷ 11
οὐδὲ συναγορεύειν, ἀλλὰ παρακελεύῃ τοῖς δικασταῖς μὴ
θέλειν ἀκούειν τῶν ἀναβαινόντων. καίτοι τί τούτου τῶν
ἐν τῇ πόλει βέλτιον ἢ δημοτικώτερόν ἐστι, πολλῶν καὶ
ἄλλων καλῶν ὄντων, ἢ ὁπόταν τις ἰδιώτης εἰς ἀγῶνα καὶ
κίνδυνον καταστὰς μὴ δύνηται ὑπὲρ ἑαυτοῦ ἀπολογεῖσθαι,
τούτῳ τὸν βουλόμενον τῶν πολιτῶν ἐξεῖναι ἀναβάντα βοη-
θῆσαι καὶ τοὺς δικαστὰς ὑπὲρ τοῦ πράγματος τὰ δίκαια
διδάξαι; ἀλλὰ νὴ Δία αὐτὸς τοιούτῳ πράγματι οὐ κέχρησαι, [col. 9
ἀλλ' ὅτ' ἔφευγες τὸν ἀγῶνα ὑπ' Ἀλεξάνδρου τοῦ ἐξ Οἴου, 12
δέκα μὲν συνηγόρους ἐκ τῆς Αἰγηΐδος φυλῆς ᾐτήσω, ὧν καὶ
ἐγὼ εἷς ἦν αἱρεθεὶς ὑπὸ σοῦ, ἐκ δὲ τῶν ἄλλων Ἀθηναίων
ἐκάλεις ἐπὶ τὸ δικαστήριον τοὺς βοηθήσοντάς σοι. καὶ τὰ
μὲν ἄλλα τί δεῖ λέγειν; αὐτῷ δὲ τούτῳ τῷ ἀγῶνι πῶς κέ-

2 κατ' αὐτῶν] κατὰ τῶν 𝔄*, corr. 𝔄² 5 εἰ τὰς] η τας 𝔄*, corr. 𝔄¹ 17 φῂς] ita (non φηις) semper in 𝔄, et in aliis quoque papyris 19 τούτου τῶν Cb., B : τούτων 𝔄 : τούτων vel τούτου edd. cett. 26 αγωνατουεξουου 𝔄*, corr. 𝔄² 27 Αιγη|ιδος, sc. Αἰγηΐδος 𝔄 : Αἰγῇδος B. illud poeticum, non Atticum, reputans

χρῆσαι; οὐ κατηγόρησας ὁπόσα ἐβούλου; οὐ Λυκοῦργον
ἐκάλεις συγκατηγορήσοντα, οὔτε τῷ λέγειν οὐδενὸς τῶν ἐν
τῇ πόλει καταδεέστερον ὄντα, παρὰ τούτοις τε μέτριον καὶ
13 ἐπιεικῆ δοκοῦντα εἶναι; εἶτα σοὶ μὲν ἔξεστι καὶ φεύγοντι
col. 10] τοὺς βοηθήσοντας καλεῖν καὶ διώκοντι τοὺς συγκατηγόρους
ἀναβιβάσασθαι, ὃς οὐ μόνον ὑπὲρ σεαυτοῦ δύνασαι εἰπεῖν,
ἀλλὰ καὶ ὅλῃ ⟨τῇ⟩ πόλει πράγματα παρέχειν ἱκανὸς εἶ, Εὐ-
ξενίππῳ δ' ὅτι ἰδιώτης ἐστὶ καὶ πρεσβύτερος οὐδὲ τοὺς
φίλους καὶ τοὺς οἰκείους ἐξέσται βοηθεῖν, εἰ δὲ μή, διαβλη-
θήσονται ὑπὸ σοῦ;

14 Νὴ Δία, τὰ γὰρ πεπραγμένα αὐτῷ δεινά ἐστι καὶ ἄξια
θανάτου, ὡς σὺ λέγεις ἐν τῇ κατηγορίᾳ. σκέψασθε δή, ὦ
ἄνδρες δικασταί, καθ' ἓν ἕκαστον αὐτῶν ἐξετάζοντες. ὁ
δῆμος προσέταξεν Εὐξενίππῳ τρίτῳ αὐτῷ ἐγκατακλιθῆναι
col. 11] εἰς τὸ ἱερόν, οὗτος δὲ κοιμηθεὶς ἐνύπνιόν φησιν ἰδεῖν, ὃ τῷ
δήμῳ ἀπαγγεῖλαι. τοῦτ' εἰ μὲν ὑπελάμβανες ἀληθὲς εἶναι, καὶ
ὃ εἶδεν ἐν τῷ ὕπνῳ τοῦτ' αὐτὸν ἀπαγγεῖλαι πρὸς τὸν δῆμον,
τί καὶ ἀδικεῖ, ἃ ὁ θεὸς αὐτῷ προσέταττε ταῦτ' ἐξαγγείλας πρὸς
15 Ἀθηναίους; εἰ δέ, ὥσπερ νυνὶ λέγεις, ἡγοῦ αὐτὸν καταψεύ-
σασθαι τοῦ θεοῦ καὶ χαριζόμενόν τισι μὴ τἀληθῆ ἀπηγ-
γελκέναι τῷ δήμῳ, οὐ ψήφισμα ἐχρῆν σε πρὸς τὸ ἐνύπνιον
γράφειν, ἀλλ' ὅπερ ὁ πρότερος ἐμοῦ λέγων εἶπεν, εἰς Δελφοὺς
πέμψαντα πυθέσθαι παρὰ τοῦ θεοῦ τὴν ἀλήθειαν. σὺ δὲ
τοῦτο μὲν οὐκ ἐποίησας, ψήφισμα δὲ αὐτοτελὲς ἔγραψας
col. 12] κατὰ δυοῖν φυλαῖν οὐ μόνον ἀδικώτατον, ἀλλὰ καὶ ἐναντίον
αὐτὸ ἑαυτῷ· δι' ὅπερ ἥλως παρανόμων, οὐ δι' Εὐξένιππον.

Ἐξετάσωμεν δὲ περὶ αὐτοῦ τουτονὶ τὸν τρόπον. αἱ φυλαὶ
16 σύνδυο γενόμεναι τὰ ὄρη τὰ ἐν Ὠρωπῷ διείλοντο, τοῦ δήμου
αὐταῖς δόντος. τοῦτο τὸ ὄρος ἔλαχεν Ἀκαμαντὶς καὶ Ἱπ-
ποθοωντίς. ταύτας τὰς φυλὰς ἔγραψας ἀποδοῦναι τὸ ὄρος
τῷ Ἀμφιαράῳ καὶ τὴν τιμὴν ὧν ἀπέδοντο, ὡς πρότερον.
τοὺς ὁριστὰς τοὺς πεντήκοντα ἐξελόντας αὐτὸ τῷ θεῷ καὶ

7 τῇ add. Cb.

ἀφορίσαντας, καὶ οὐ προσηκόντως τὰς δύο φυλὰς ἐχούσας
τὸ ὄρος. μικρὸν δὲ διαλιπὼν ἐν ταὐτῷ ψηφίσματι γράφεις 17
τὰς ὀκτὼ φυλὰς πορίσαι ταῖν δυοῖν φυλαῖν τὰ διάφορα καὶ [col. 13
ἀποδοῦναι, ὅπως ἂν μὴ ἐλαττῶνται. καίτοι εἰ μὲν ἴδιον
⟨ὂν⟩ τῶν φυλῶν ἀφῃροῦ τὸ ὄρος, πῶς οὐκ ὀργῆς ἄξιος; εἰ
δὲ μὴ προσηκόντως εἶχον αὐτό, ἀλλὰ τοῦ θεοῦ ὄν, διὰ τί
τὰς ἄλλας φυλὰς ἔγραφες αὐταῖς προσαποδιδόναι ἀργύριον;
ἀγαπητὸν γὰρ ἦν αὐταῖς εἰ τὰ τοῦ θεοῦ ἀποδώσουσιν καὶ
μὴ προσαποτείσουσιν ἀργύριον.

Ταῦτ᾽ ἐν τῷ δικαστηρίῳ ἐξεταζόμενα οὐκ ὀρθῶς ἐδόκει 18
γεγράφθαι, ἀλλὰ κατεψηφίσαντό σου οἱ δικασταί. εἶτ᾽ εἰ
μὲν ἀπέφυγες τὴν γραφήν, οὐκ ἂν κατεψεύσατο οὗτος τοῦ
θεοῦ, ἐπειδὴ δὲ συνέβη σοι ἁλῶναι, Εὐξένιππον δεῖ ἀπο-
λωλέναι. καὶ σοὶ μὲν τῷ τοιοῦτο ψήφισμα γράψαντι πέντε [col. 14
καὶ εἴκοσι δραχμῶν ἐτιμήθη, τὸν δὲ κατακλιθέντα εἰς τὸ ἱερὸν
τοῦ δήμου κελεύσαντος μηδ᾽ ἐν τῇ Ἀττικῇ δεῖ τεθάφθαι.

Ναί· δεινὰ γὰρ ἐποίησεν περὶ τὴν φιάλην, ἐάσας Ὀλυμ- 19
πιάδα ἀναθεῖναι εἰς τὸ ἄγαλμα τῆς Ὑγιείας. τοῦτο γὰρ
ὑπολαμβάνεις, ἐφόδιον ἑαυτῷ εἰς τὸν ἀγῶνα τὸ ἐκείνης ὄνομα
παραφέρων καὶ κολακείαν ψευδῆ κατηγορῶν Εὐξενίππου,
μῖσος καὶ ὀργὴν αὐτῷ συλλέξειν παρὰ τῶν δικαστῶν. δεῖ
δέ, ὦ βέλτιστε, μὴ ἐπὶ τῷ Ὀλυμπιάδος ὀνόματι καὶ τῷ
Ἀλεξάνδρου τῶν πολιτῶν τινα ζητεῖν κακόν τι ἐργάσασθαι, [col. 15
ἀλλ᾽ ὅταν ἐκεῖνοι πρὸς τὸν δῆμον τὸν Ἀθηναίων ἐπιστέλ- 20
λωσι μὴ τὰ δίκαια μηδὲ τὰ προσήκοντα, τότε ἀναστάντα
ὑπὲρ τῆς πόλεως ἀντιλέγειν καὶ πρὸς τοὺς ἥκοντας παρ᾽
αὐτῶν δικαιολογεῖσθαι καὶ εἰς τὸ κοινὸν τῶν Ἑλλήνων
συνέδριον πορεύεσθαι βοηθήσοντα τῇ πατρίδι. σὺ δ᾽ ἐκεῖ
μὲν οὐδεπώποτε ἀνέστης οὐδὲ λόγον περὶ αὐτῶν ἐποιήσω,
ἐνθάδε δὲ μισεῖς Ὀλυμπιάδα ἐπὶ τῷ ἀπολέσαι Εὐξένιππον,

3 πορίσαι Cb., B : ποιῆσαι 𝔄 ταῖν Bab. : ταν 𝔄 : τοῖν Westermann, B 5 ὂν add. Cb.; post ἄξιος idem εἶ excidisse putat 12 ἀπεφευγες 𝔄*, corr. 𝔄[1]? 16 τεταφεναι 𝔄*, ut vid. : τεταφθαι ναι 𝔄[1] : τεθάφθαι Bab. : τεθάφθαι; ναί Kayser, B : ταφῆναι. νὴ Δία Cb.

21 καὶ φὴς κόλακα αὐτὸν εἶναι ἐκείνης καὶ Μακεδόνων· ὃν ἐὰν
col. 16] δείξῃς ἀφιγμένον πώποτε εἰς Μακεδονίαν, ἢ ἐκείνων τινὰ
ὑποδεξάμενον εἰς τὴν αὑτοῦ οἰκίαν, ἢ χρώμενον τῶν ἐκεῖθέν
τινι ἢ ἐντυγχάνοντα, ἢ λόγους καὶ οὑστινασοῦν ἢ ἐπ'
ἐργαστηρίου ἢ ἐν τῇ ἀγορᾷ ἢ ἄλλοθί που περὶ τούτων τῶν
πραγμάτων εἰρηκότα, καὶ μὴ κοσμίως καὶ μετρίως τὰ αὑτοῦ
πράττοντα ὥσπερ εἴ τις καὶ ἄλλος τῶν πολιτῶν, χρησά-
22 σθωσαν αὐτῷ οἱ δικασταὶ ὅ τι βούλονται. εἰ γὰρ ταῦτα
ἦν ἀληθῆ ἃ κατηγορεῖς, οὐκ ἂν σὺ μόνος ᾔδεις, ἀλλὰ καὶ
οἱ ἄλλοι πάντες οἱ ἐν τῇ πόλει· ὥσπερ καὶ περὶ τῶν ἄλλων
col. 17] ὅσοι τι ὑπὲρ ἐκείνων ἢ λέγουσιν ἢ πράττουσιν, οὐ μόνον
αὐτοί, ἀλλὰ καὶ οἱ ἄλλοι Ἀθηναῖοι ἴσασι καὶ τὰ παιδία τὰ
ἐκ τῶν διδασκαλείων καὶ τῶν ῥητόρων τοὺς παρ' ἐκείνων
μισθαρνοῦντας καὶ τῶν ἄλλων τοὺς ξενίζοντας τοὺς ἐκεῖθεν
ἥκοντας καὶ ὑποδεχομένους καὶ εἰς τὰς ὁδοὺς ὑπαντῶντας
ὅταν προσίωσι· καὶ οὐδαμοῦ ὄψει οὐδὲ παρ' ἑνὶ τούτων
23 Εὐξένιππον καταριθμούμενον. σὺ δ' ἐκείνων μὲν οὐδένα
κρίνεις οὐδ' εἰς ἀγῶνα καθίστης, οὓς πάντες ἴσασι ταῦτα
πράττοντας, κατ' Εὐξενίππου δὲ κολακείαν κατηγορεῖς, οὗ
col. 18] ὁ βίος τὴν αἰτίαν οὐ παραδέχεται. καίτοι, εἰ νοῦν εἶχες,
περί γε τῆς φιάλης τῆς ἀνατεθείσης οὔτ' ἂν Εὐξένιππον
ᾐτιῶ, οὔτ' ἂν ἄλλον λόγον οὐδένα ἐνταῦθα ἐποιήσω· οὐ γὰρ
ἁρμόττει. διὰ τί; καί μου τὸν λόγον, ὦ ἄνδρες δικασταί,
ἀκούσατε, ὃν μέλλω λέγειν.

24 Ὑμῖν Ὀλυμπιὰς ἐγκλήματα πεποίηται περὶ τὰ ἐν Δω-
δώνῃ οὐ δίκαια, ὡς ἐγὼ δὶς ἤδη ἐν τῷ δήμῳ ἐναντίον ὑμῶν
καὶ τῶν ἄλλων Ἀθηναίων πρὸς τοὺς ἥκοντας παρ' αὐτῆς
ἐξήλεγξα οὐ προσήκοντα αὐτὴν ἐγκλήματα τῇ πόλει ἐγκα-
λοῦσαν. ὑμῖν γὰρ ὁ Ζεὺς ὁ Δωδωναῖος προσέταξεν ἐν
col. 19] τῇ μαντείᾳ τὸ ἄγαλμα τῆς Διώνης ἐπικοσμῆσαι· καὶ ὑμεῖς
25 πρόσωπόν τε κοσμησάμενοι ὡς οἷόν τε κάλλιστον καὶ τἆλλα

4 τινι om. 𝔄*, add. 𝔄^2 16 προίωσι Cb., Lightfoot 19 κατ' del. Cb. 25 ὑμῖν cum praecedentibus coniungit 𝔄 28 ἐξήλεγξα] καὶ ἀπέδειξα add. Cb. 31 κοσμησάμενοι] ποιησάμενοι Kayser, B: κομισάμενοι Comparetti

πάντα τὰ ἀκόλουθα, καὶ κόσμον πολὺν καὶ πολυτελῆ τῇ θεῷ
παρασκευάσαντες, καὶ θεωρίαν καὶ θυσίαν πολλῶν χρημάτων
ἀποστείλαντες, ἐπεκοσμήσατε τὸ ἕδος τῆς Διώνης ἀξίως καὶ
ὑμῶν αὐτῶν καὶ τῆς θεοῦ. ὑπὲρ τούτων ὑμῖν τὰ ἐγκλήματα
ἦλθε παρ' Ὀλυμπιάδος ἐν ταῖς ἐπιστολαῖς, ὡς ἡ χώρα εἴη
ἡ Μολοττία αὐτῆς, ἐν ᾗ τὸ ἱερόν ἐστιν· οὔκουν προσήκειν
ἡμᾶς τῶν ἐκεῖ οὐδὲ ἓν κινεῖν. ἐὰν μὲν τοίνυν τὰ περὶ τὴν 26
φιάλην γεγονότα ἐν ἀδικήματι ψηφίσησθε εἶναι, τρόπον [col. 20
τινὰ καὶ ἡμῶν αὐτῶν καταγιγνώσκομεν ὡς τὰ ἐκεῖ οὐκ ὀρθῶς
ἐπράξαμεν· ἐὰν δ' ἐπὶ τοῦ γεγενημένου ἐῶμεν, τὰς τραγῳδίας
αὐτῆς καὶ τὰς κατηγορίας ἀφῃρηκότες ἐσόμεθα. οὐ γὰρ δήπου
Ὀλυμπιάδι μὲν τὰ Ἀθήνησιν ἱερὰ ἐπικοσμεῖν ἔξεστιν, ἡμῖν δὲ
τὰ ἐν Δωδώνῃ οὐκ ἐξέσται, καὶ ταῦτα τοῦ θεοῦ προστάξαντος.

Ἀλλ' οὐκ ἔστιν, ὦ Πολύευκτε, ὡς ἐμοὶ δοκεῖς, ὅθεν κατη- 27
γορίαν οὐκ ἂν ποιήσαιο. καίτοι σε ἐχρῆν, ἐπείπερ προῄρησαι
πολιτεύεσθαι, καὶ νὴ Δία καὶ δύνασαι, μὴ τοὺς ἰδιώτας
κρίνειν μηδ' εἰς τούτους νεανιεύεσθαι, ἀλλὰ τῶν ῥητόρων [col. 21
ἐάν τις ἀδικῇ, τοῦτον κρίνειν, στρατηγὸς ἐάν τις μὴ τὰ δίκαια
πράττῃ, τοῦτον εἰσαγγέλλειν· παρὰ γὰρ τούτοις ἐστὶ καὶ τὸ
δύνασθαι βλάπτειν τὴν πόλιν, ὅσοι ἂν αὐτῶν προαιρῶνται,
οὐ παρ' Εὐξενίππῳ οὐδὲ τῶν δικαστῶν τούτων οὐδενί. καὶ 28
οὐ σὲ μὲν οὕτως οἴομαι δεῖν πράττειν, αὐτὸς δὲ ἄλλον τινὰ
τρόπον τῇ πολιτείᾳ κέχρημαι, ἀλλ' οὐδ' αὐτὸς ἰδιώτην οὐδένα
πώποτε ἐν τῷ βίῳ ἔκρινα, ἤδη δέ τισι καθ' ὅσον ἐδυνάμην
ἐβοήθησα. τίνας οὖν κέκρικα καὶ εἰς ἀγῶνα καθέστακα;
Ἀριστοφῶντα τὸν Ἀζηνιέα, ὃς ἰσχυρότατος ἐν τῇ πολιτείᾳ
γεγένηται (καὶ οὗτος ἐν τούτῳ τῷ δικαστηρίῳ παρὰ δύο [col. 22
ψήφους ἀπέφυγε)· Διοπείθη τὸν Σφήττιον, ὃς δεινότατος 29
ἐδόκει εἶναι τῶν ἐν τῇ πόλει· Φιλοκράτη τὸν Ἁγνούσιον, ὃς
θρασύτατα καὶ ἀσελγέστατα τῇ πολιτείᾳ κέχρηται. τοῦτον
εἰσαγγείλας ἐγὼ ὑπὲρ ὧν Φιλίππῳ ὑπηρετήκει κατὰ τῆς

6 η Μολοσσια 𝔄, corr. Lightfoot; del. Cb., alii προσήκειν Cb., alii: προσηκεν 𝔄 25 καὶ . . . καθέστακα del. Cb. 29 ἐδόκει Schäfer: δοκει 𝔄 31 ὑπηρετήκει] υπηρετείκαι 𝔄, corr. Schoemann: ὑπηρέτει (καὶ deleto) B

πόλεως, εἷλον ἐν τῷ δικαστηρίῳ, καὶ τὴν εἰσαγγελίαν ἔγραψα δικαίαν καὶ ὥσπερ ὁ νόμος κελεύει, ‘ῥήτορα ὄντα λέγειν μὴ τὰ ἄριστα τῷ δήμῳ τῷ Ἀθηναίων χρήματα λαμβάνοντα καὶ
30 δωρεὰς παρὰ τῶν τἀναντία πραττόντων τῷ δήμῳ·’ καὶ οὐδ’
col. 23] οὕτως ἀπέχρησέ μοι τὴν εἰσαγγελίαν δοῦναι, ἀλλ’ ὑποκάτω παρέγραψα· ‘τάδ’ εἶπεν οὐ τὰ ἄριστα τῷ δήμῳ χρήματα λαβών,’ εἶτα τὸ ψήφισμα αὐτοῦ ὑπέγραψα· καὶ πάλιν, ‘τάδε εἶπεν οὐ τὰ ἄριστα τῷ δήμῳ χρήματα λαβών,’ καὶ τὸ ψήφισμα παρέγραφον. καὶ ἔστι μοι πεντάκις ἢ ἑξάκις τοῦτο γεγραμμένον· δίκαιον γὰρ ᾤμην δεῖν τὸν ἀγῶνα καὶ τὴν κρίσιν ποιῆσαι. σὺ δ’ ἃ μὲν εἰπεῖν Εὐξένιππον φῂς οὐ τὰ ἄριστα τῷ δήμῳ, οὐκ εἶχες γράψαι εἰς τὴν εἰσαγγελίαν,
31 ἰδιώτην δ’ ὄντα κρίνεις ἐν τῇ τοῦ ῥήτορος τάξει. μικρὰ δὲ
col. 24] περὶ τῆς ἀντιγραφῆς εἰπών, ἑτέρας αἰτίας καὶ διαβολὰς ἥκεις φέρων κατ’ αὐτοῦ, λέγων ὡς Φιλοκλεῖ τὴν θυγατέρα ἐδίδου καὶ Δημοτίωνος δίαιταν ἔλαβεν, καὶ ἄλλας τοιαύτας κατηγορίας, ἵν’ ἐὰν μὲν ἀφέμενοι τῆς εἰσαγγελίας περὶ τῶν ἔξω τοῦ πράγματος κατηγορηθέντων ἀπολογῶνται, ἀπαντῶσιν αὐτοῖς οἱ δικασταί· τί ταῦθ’ ἡμῖν λέγετε; ἐὰν δὲ μηδένα λόγον περὶ αὐτῶν ποιῶνται, ὁ ἀγὼν αὐτοῖς χείρων γίγνηται. τῶν γὰρ κατηγορηθέντων τὸ μὴ λαβὸν ἀπολογίαν ὑπὸ τῇ
32 ὀργῇ τῶν δικαστῶν καταλείπεται. καὶ τὸ πάντων δεινότατον τῶν ἐν τῷ λόγῳ λεγομένων ὑπὸ σοῦ, ὃ σὺ ᾤου λαν-
col. 25] θάνειν ὧν ἕνεκα λέγεις, οὐ λανθάνων, ὁπότε παραφθέγγοιο ἐν τῷ λόγῳ πολλάκις, ὡς πλούσιός ἐστιν Εὐξένιππος, καὶ πάλιν διαλιπών, ὡς οὐκ ἐκ δικαίου πολλὴν οὐσίαν συνείλεκται· ἃ εἰς μὲν τὸν ἀγῶνα τοῦτον οὐδὲν δήπου ἐστίν, εἴτε πολλὰ οὗτος κέκτηται εἴτε ὀλίγα, τοῦ δὲ λέγοντος κακοηθία καὶ ὑπόληψις εἰς τοὺς δικαστὰς οὐ δικαία, ὡς ἄλλοθί που οὗτοι τὴν γνώμην ἂν σχοίησαν ἢ ἐπ’ αὐτοῦ τοῦ πράγματος, καὶ πότερον ἀδικεῖ ὑμᾶς ὁ κρινόμενος ἢ οὔ.

5 εισαγγελιαναν 𝔄, αν del. Bab. 17 post ἀφέμενοι fortasse excidit οἱ ὑπὲρ αὐτοῦ ἀπολογούμενοι vel simile aliquid

Κακ[ῶς ἐ]μοὶ δοκεῖς εἰδέναι, ὦ Πολύευκτε, κ[αὶ σὺ] καὶ οἱ 33
ταὐτὰ γι[γνώσκο]ντες, ὅτι οὔ[τε δῆμός ἐ]στιν οὐδ[ὲ εἷς] ἐν τῇ
οἰκουμένῃ οὔτε μόναρχος οὔτε ἔθνος μεγαλοψυχότερον τοῦ [col. 26
δήμου τοῦ Ἀθηναίων, τοὺς δὲ συκοφαντουμένους τῶν πολιτῶν
ὑπό τινων ἢ καθ' ἕνα ἢ ἅθρους οὐ προΐεται ἀλλὰ βοηθεῖ.
καὶ πρῶτον μὲν Τείσιδος τοῦ Ἀγρυλῆθεν ἀπογράψαντος τὴν 34
Εὐθυκράτους οὐσίαν ὡς δημοσίαν οὖσαν, ἣ πλεόνων ἢ ἑξή-
κοντα ταλάντων ἦν, καὶ μετ' ἐκείνην πάλιν ὑπισχνουμένου
τὴν Φιλίππου καὶ Ναυσικλέους ἀπογράψειν, καὶ λέγοντος
ὡς ἐξ ἀναπογράφων μετάλλων πεπλουτήκασι, τοσοῦτον οὗτοι
ἀπέλιπον [τοῦ πρ]οσέσθαι τινὰ τ[οιοῦτο]ν λόγον ἢ τῶν ἀλλο- [col. 27
τρίων ἐπιθυμεῖν, ὥστε τὸν ἐγχειρήσαντα συκοφαντεῖν αὐτοὺς
εὐθὺς ἠτίμωσαν, τὸ πέμπτον μέρος τῶν ψήφων οὐ μετα-
λαβόντες. τοῦτο δ', εἰ βούλει, τὸ πρώην ὑπὸ τῶν δικαστῶν 35
πραχθὲν τοῦ ἐξελθόντος μηνὸς πῶς οὐ μεγάλου ἐπαίνου ἄξιόν
ἐστι; φήναντος γὰρ Λυσάνδρου τὸ Ἐπικράτους μέταλλον τοῦ
Παλληνέως ⟨ὡς⟩ ἐντὸς τῶν μέτρων τετμημένον, ὃ ἠργάζετο
μὲν ἤδη τρία ἔτη, μετεῖχον δ' αὐτοῦ οἱ πλουσιώτατοι σχεδόν
τι τῶν ἐν τῇ πόλει, ὁ δὲ Λύσανδρος ὑπισχνεῖτο τριακόσια
τάλαντα εἰσ[πράξει]ν τῇ πόλει (τ[οσαῦτα] γὰρ εἰληφέναι α[ὐ-
τοὺς] ἐκ τοῦ μετάλλου)· ἀλλ' ὅμως οἱ δικασταὶ οὐ πρὸς τὰς [col. 28
τοῦ κατηγόρου ὑποσχέσεις ἀποβλέποντες, ἀλλὰ πρὸς τὸ 36
δίκαιον, ἔγνωσαν ἴδιον εἶναι τὸ μέταλλον, καὶ τῇ αὐτῇ ψήφῳ
τάς τε οὐσίας αὐτῶν ἐν ἀσφαλείᾳ κατέστησαν, καὶ τὴν
ὑπόλοιπον ἐργασίαν τοῦ μετάλλου ἐβεβαίωσαν. τοιγαροῦν
αἱ καινοτομίαι ⟨αἱ⟩ πρότερον ἐκλελειμμέναι διὰ τὸν φόβον
νῦν ἐνεργοί, καὶ τῆς πόλεως αἱ πρόσοδοι αἱ ἐκεῖθεν πάλιν
αὔξονται, ἃς ἐλυμήναντό τινες τῶν ῥητόρων ἐξαπατήσαντες

1 *κακῶς ἐμοὶ* Cb.: *κακῶς μοι* B: *κακῶς δ' ἐμοὶ* Kayser, quod lacuna non capit. Ante *κακῶς* spatium est in papyro *καὶ σὺ . . . γιγνώσκοντες* C. Müller 2 *οὔτε . . . εἷς* Comparetti B: *οὔτε πόλις ἐστὶν οὐδεμία* Lightfoot, Cb. 11 *τοῦ προσέσθαι* Spengel: *-οεσθαι* 𝔄*, corr. 𝔄[1] *τοιοῦτον* Bab. 17 *ὡς* add. Cb. 20 *εἰσπράξειν* Schneidewin *τοσαῦτα* Bab. *αὐτοὺς* Cb. 26 *αἱ* add. Cb.

37 τὸν δῆμον καὶ δασμολογήσαντες τοὺς ἐκ[εῖθεν]. ἔστι γάρ,
col. 29] ὦ ἄνδρες δικασταί, οὐχ οὗτος [χρη]στὸς πολίτης, ὅστις μικρὰ δοὺς πλείω βλάπτει τὰ κοινά, οὐδ᾽ ὅστις εἰς τὸ παραχρῆμα ἐξ ἀδίκου πορίσας κατέλυσε τῆς πόλεως τὴν ἐκ δικαίου πρόσοδον, ἀλλ᾽ ὅτῳ μέλει καὶ τῶν εἰς τὸν ἔπειτα χρόνον ὠφελίμων τῇ πόλει καὶ τῆς ὁμονοίας τῶν πολιτῶν καὶ τῆς δόξης τῆς ὑμετέρας· ὧν ἔνιοι οὐ φροντίζουσιν, ἀλλὰ τῶν ἐργαζομένων ἀφαιρούμενοι πόρους φασὶ τούτους πορίζειν, ἀπορίαν ἐν τῇ πόλει παρασκευάζοντες. ὅταν γὰρ ᾖ φοβερὸν τὸ κτᾶσθαι καὶ φείδεσθαι, τίς βουλήσεται κινδυνεύειν;

38 Τούτους μὲν οὖν ἴσως οὐ ῥᾴδιόν ἐστι κωλῦσαι ταῦτα
col. 30] πράττειν· ὑμεῖς δέ, ὦ ἄνδρες δικασταί, ὥσπερ καὶ ἄλλους πολλοὺς σεσώκατε τῶν πολιτῶν ἀδίκως εἰς ἀγῶνας καταστάντας, οὕτω καὶ Εὐξενίππῳ βοηθήσατε, καὶ μὴ περιίδητε αὐτὸν ἐπὶ πράγματι οὐδενὸς ἀξίῳ καὶ εἰσαγγελίᾳ τοιαύτῃ, ᾗ οὐ μόνον οὐκ ἔνοχός ἐστιν, ἀλλὰ καὶ αὐτὴ παρὰ τοὺς νόμους ἐστὶν εἰσηγγελμένη, καὶ πρὸς τούτοις ὑπ᾽ αὐτοῦ τοῦ
39 κατηγόρου τρόπον τινὰ ἀπολελυμένη. εἰσήγγελκε γὰρ αὐτὸν Πολύευκτος λέγειν μὴ τὰ ἄριστα τῷ δήμῳ τῷ Ἀθηναίων χρήματα λαμβάνοντα καὶ δωρεὰς παρὰ τῶν τἀναντία πραττόντων τῷ δήμῳ τῷ Ἀθηναίων. εἰ μὲν οὖν ἔξωθεν τῆς
col. 31] πόλεώς τινας ᾐτιᾶτο εἶναι, παρ᾽ ὧν τὰ δῶρα εἰληφότα Εὐξένιππον συναγωνίζεσθαι αὐτοῖς, ἦν ἂν αὐτῷ εἰπεῖν ὅτι, ἐπειδὴ ἐκείνους οὐκ ἔστι τιμωρήσασθαι, δεῖ τοὺς ἐνθάδε αὐτοῖς ὑπηρετοῦντας δίκην δοῦναι. νῦν δὲ Ἀθηναίους φησὶν εἶναι, παρ᾽ ὧν τὰς δωρεὰς εἰληφέναι αὐτόν. εἶτα σύ, ἔχων ἐν τῇ πόλει τοὺς ὑπεναντία πράττοντας τῷ δήμῳ, οὐ τιμωρῇ, ἀλλ᾽ Εὐξενίππῳ πράγματα παρέχεις;

40 Βραχὺ δ᾽ ἔτι εἰπὼν περὶ τῆς ψήφου ἧς ὑμεῖς μέλλετε φέρειν καταβήσομαι. ὅταν γὰρ μέλλητε, ὦ ἄνδρες δικασταί,
col. 32] διαψηφίζεσθαι, κελεύετε ὑμῖν τὸν γραμματέα ὑπαναγνῶναι

1 ἐκεῖθεν Lightfoot : ἐκεῖ Kayser 2 χρηστὸς Meuss : ἄριστος Bab.. ceteri. 9 ᾖ] ην 𝔄, corr. Bab. 24 αὐτοῖς] αυτους 𝔄, corr. Bab.

τήν τε εἰσαγγελίαν καὶ τὸν νόμον τὸν εἰσαγγελτικὸν καὶ τὸν ὅρκον τὸν ἡλιαστικόν· καὶ τοὺς μὲν λόγους ἁπάντων ἡμῶν ἀφέλετε, ἐκ δὲ τῆς εἰσαγγελίας καὶ τῶν νόμων σκεψάμενοι ὅ τι ἂν ὑμῖν δοκῇ δίκαιον καὶ εὔορκον εἶναι, τοῦτο ψηφίσασθε.

Ἐγὼ μὲν οὖν σοί, Εὐξένιππε, βεβοήθηκα ὅσα εἶχον. 41
λοιπὸν δ᾽ ἐστὶ δεῖσθαι τῶν δικαστῶν καὶ τοὺς φίλους παρακαλεῖν καὶ τὰ παιδία ἀναβιβάζεσθαι.

Subscriptio in 𝔄, ὑπὲρ Εὐξενίππου εἰσαγγελίας ἀπολογία πρὸς Πολύευκτον

V (I)

ΚΑΤΑ ΔΗΜΟΣΘΕΝΟΥΣ ΥΠΕΡ ΤΩΝ ΑΡΠΑΛΕΙΩΝ

Frag. I.

col. 1] Ἀλλ' ἐγώ, ὦ ἄνδρες δικασταί, [ὅπερ καὶ] πρὸς τού[ς παρακαθη]μένους [ἀρτίως ἔλ]εγον, θαῦ[μα τ]ηλ[ικ]ουτὶ [νομίζω] τουτὶ τὸ πρᾶγμα, [εἰ μ]ὴ νὴ Δία κατὰ Δημοσθένους μόνον τῶν ἐν τῇ πόλει [μήτε] οἱ νόμοι ἰσχύουσιν, οἱ κελεύοντες κύρια εἶναι ὅσα ἄν τις αὐτὸς καθ' αὑτοῦ διάθηται, μήτε τὰ ψηφίσματα τοῦ δήμου, καθ' ἃ ὑμεῖς μὲν ὀμωμόκατε τὴν ψῆφον οἴσειν. ἔγραψεν δὲ αὐτὰ οὐδεὶς τῶν ἐχθρῶν τῶν Δημοσθένους, ἀλλ' αὐτὸς οὗτος, ἐψηφίσατο δὲ ὁ δῆμος τούτου κελεύοντος [καὶ μόνον] οὐχ ἑκου[σίως αὐτὸν ἀπο]λλύ-
col. 2] [οντος] — — — [τὸ δὲ] δίκαιον, ὦ ἄνδρες δικασταί, ἁπλοῦν ὑπολαμβάνω ἡμῖν εἶναι πρὸς Δημοσθένη. ὥσπερ γὰρ ἐπὶ τῶν ἰδίων ἐγκλημάτων πολλὰ διὰ προκλήσεων κρίνεται, οὕτως καὶ τουτὶ τὸ πρᾶγμα κέκριται. σκέψασθε γάρ, ὦ ἄνδρες δικασταί, οὑτωσί. ᾐτιάσατό σε, ὦ Δημόσθενες, ὁ δῆμος εἰληφέναι εἴκοσι τάλαντα [ἐπὶ] τῇ πολιτείᾳ καὶ τοῖς νόμοις. ταῦτα σὺ ἔξαρνος ἐγένου μὴ λαβεῖν, καὶ πρόκλησιν γράψας ἐν ψηφίσματι προσήνεγκας τῷ δήμῳ, ἐπιτρέπων ὑπὲρ ὧν τὴν αἰτίαν ἔσχες τῇ βουλῇ τῇ ἐξ Ἀρείου πάγου . . . .

Frag. II.

Καὶ συκοφαντεῖς τὴν βουλήν, προκλήσεις ἐκτιθεὶς καὶ
col. 3] ἐρωτῶν ἐν ταῖς προκλήσεσιν, πόθεν ἔλαβες τὸ χρυσίον,

Titulus e tabula ad finem rotuli 𝔄 restituitur. Col. 1 restituit plerumque B   5 διάθηται] verbo διαθέσθαι pro συνθέσθαι uti Hyperidem in hac oratione testatur Harpocration *s. v.* διάθεσις   15 ἐπὶ Egger   19 συκοφαντεῖς . . . ἀπαιτῶν citat Alex. Numen. περὶ σχημ. viii 457 Walz) : ἣν σοι . . . ἀπαιτῶν etiam in 𝔄 exstat

*καὶ τίς ἦν σοι ὁ δούς, καὶ ποῦ· τελευτῶν δ' ἴσως ἐρωτήσεις
καὶ ὅ τι ἐχρήσω λαβὼν τῷ χρυσίῳ, ὥσπερ τραπεζιτικὸν λόγον
παρὰ τῆς βουλῆς ἀπαιτῶν. ἐγὼ δὲ τοὐναντίον [ἡδέως ἂν]* [col. 4
*παρὰ σοῦ [πυθοίμ]ην, τίνος [ἂν ἕν]εκα ἡ ἐξ Ἀρείου [πάγου
βου]λὴ εφη . . .*

Frag. III.

. . . τὰς ἀποφάσεις. οὐκ ἔστι ταῦτα, ἀλλὰ πάντων [col. 5
*φανήσονται μάλιστα δημοτικώτατα τῷ πράγματι κεχρημένοι·
τοὺς μὲν γὰρ ἀδικοῦντας ἀπέφηναν, καὶ ταῦτ' οὐχ ἑκόντες,
ἀλλ' ὑπὸ τοῦ δήμου πολλάκις ἀναγκαζόμενοι· τὸ [δὲ κο]λάσαι
τοὺς ἀδι[κοῦντα]ς οὐκ ἐφ' αὑτοῖς [ἐποί]ησαν, ἀλλ' ὑμ[ῖν ἀπέ-
δ]οσαν τοῖς κυρίοις. Δ[ημοσθένης] δ' οὐ μόνον ἐπὶ τοῦ αὐτοῦ* [col. 6
*ἀγῶνος οἴεται δεῖν ὑμᾶς παρακρούσασθαι διαβαλὼν τὴν ἀπό-
φασιν, ἀλλὰ καὶ τοὺς ἄλλους ἀγῶνας ἅπαντας ἀφελέσθαι
ζητεῖ τοὺς τῆς πόλεως· ὑπὲρ οὗ δεῖ ὑμᾶς νυνὶ βουλεύσασθαι
προσέχοντας τὸν νοῦν, καὶ μὴ τῷ λόγῳ ὑπὸ τούτου ἐξαπατη-
θῆναι. τὰς γὰρ ἀποφάσεις ταύτας τὰς ὑπὲρ τῶν χρημάτων
Ἁρπάλου πάσας ὁμοίως ἡ βουλὴ πεποίηται καὶ τὰς αὐτὰς
κατὰ πάντων, καὶ οὐδεμιᾷ προσγέγραφεν, δι' ὅ τι ἕκαστον
ἀποφαίνει, ἀλλὰ ἐπὶ κεφαλαίου γράψασα ὁπόσον ἕκαστος
εἴληφεν χρυσίον, τοῦτ' οὖν [ὀφε]ιλέτω. [ἢ] ἰσχύ[σει] Δημο-
σθένης παρ' ὑμ[ῖν] . . . . ἀπο . . . .* [col. 7
*. . . οὐκ ἔσ . . . . ἀπογε . . . .
ἀπόφα . . . . ἔλαβεν . . . . σι καὶ
οἱ . . . . οὐ γὰρ δή[που Δημο]σθένει [μὲν ἔσται
τοῦ]το ἰσχυρό[ν, τοῖς] δ' ἄλλοις ο[ὔχ. οὕτως] οὐχ ὑπὲρ [εἴκοσι
τα]λάντων δ[ικάζετε], ἀλλ' ὑπὲρ τ[ετρακο]σίων, οὐδ' ὑ]πὲρ
ἑνὸς] ἀδικήμ[ατ]ο[ς, ἀλλ' ὑ]πὲρ ἁπάντ[ων. ἡ γὰρ] σὴ ἀπό-*

1 *ποῦ*] *πῶς* Alex. 2 *λαβὼν* om. Alex. Col. 4 adiunxit et restituit B; pars tamen maior periit 9–10 *τὸ δὲ . . . ἀδικοῦντας* restituit Sauppe 10–11 *ἐποίησαν . . . Δημοσθένης* restituit B 18 *δι ο τι* 𝔄, ut vid.: *διὰ τί* B 20 *ὀφειλέτω* edd. omn. 24–25 *οὐ γὰρ δήπου . . . οὕτως* restitui; B nimium versibus singulis tribuere videtur 25 *εἴκοσι* edd. omn. 26 *δικάζετε* Sauppe *τετρακοσίων* Boeckh, Bab.: *τριακοσίων* Sauppe 27 *ἑνὸς ἀδικήματος* Boeckh *ἡ γὰρ . . . πάντων* B

νο[ια, ὦ Δημό]σθενες, ὑπ[ὲρ πάντων] τῶν ἀδικούντων νῦν προκινδυνεύει καὶ προαναισχυντεῖ. ἐγὼ δ' ὅτι μὲν ἔλαβες τὸ χρυσίον ἱκανὸν οἶμαι εἶναι σημεῖον τοῖς δικασταῖς τὸ τὴν
col. 8] βουλήν σου καταγνῶναι, [ᾗ σαυτὸν ἐ]πέτρεψας· [τίνων δὲ ἕ]νεκα ἔλαβες, [ἔτι δὲ τί]σιν αἰτίαις [. . . . . τὴ]ν πόλιν κα . . . . ενος . . . . χρυσί- . . . . τος τοὺς . . . . περ ει . . . . . [φανερ]ὸν ποι[ήσομαι. ἐπ]ειδὴ γὰρ ἦλ[θεν, ὦ ἄν]δρες δικα[σταί, Ἅρπα]λος εἰς τὴν [Ἀττική]ν, καὶ οἱ πα[ρὰ Φιλοξέ]νου ἐξαι[τοῦντες αὐ]τὸν ἅμα [προσήχθησ]αν πρὸς [τὸν δῆμον, μέμνησθε ὡς τότε Δημ]οσθένης [διεξῆλθεν] μακρὸν [λόγον], φάσκων οὔτε [τοῖς παρ]ὰ Φιλοξέ[νου ἐλθο]ῦσι καλῶς [ἔχειν τὸν] Ἅρπαλον [ἐκδοῦναι τ]ὴν πόλιν, [οὔτε δεῖν] αἰτίαν οὐ[δεμίαν τ]ῷ δήμῳ [δι' ἐκεῖνο]ν παρ' Ἀ[λεξάνδρο]υ καταλεί-
col. 9] πεσθαι, ἀσφαλέστατον δ' εἶναι τ[ῇ πόλει] τά τε χρήματα [καὶ τὸν] ἄνδρα φυλάτ[τειν], καὶ ἀναφέρει[ν τὰ χρή]ματα ἅπαντα εἰς τὴν ἀκρόπολιν, ἃ ἦλθεν ἔχων Ἅρπαλος εἰς τὴν Ἀττικήν, ἐν τῇ αὔριον ἡμέρᾳ· Ἅρπαλον δ' ἤδη ἀποδεῖξαι τὰ χρήματα, ὁπόσα ἐστίν· οὐχ ὅπως πύθοιτο τὸν ἀριθμὸν αὐτῶν, ὡς ἔοικεν, ὁπόσα ἦν, ἀλλ' ἵνα εἰδῇ ἀφ' ὅσων αὐτὸν δεῖ τὸν μισθὸν πράττεσθαι. καὶ καθήμενος κάτω ὑπὸ τῇ κατατομῇ, οὗπερ [εἰώ]θε κα[θῆσ]θ[αι], ἐκέλευ[ε Μνησ]ίθεον τὸν χορευτὴν ἐρωτῆσαι τὸν Ἅρπαλον, ὁπόσα εἴη τὰ χρήματα τὰ ἀνοισθησόμενα εἰς τὴν ἀκρόπολιν. ὁ δ' ἀπεκρίνατο
col. 10] ὅτι ἑπτα[κόσια τάλαντα] – – – – [τὰ χρήματα εἶναι τη]λικ[αῦτα] αὐτὸς ἐν τῷ δ[ήμῳ] πρὸς ὑμᾶς ε[ἰπών], ἀναφερομέν[ων τρια]κοσίων ταλάντων καὶ πεντήκοντα ἀνθ' ἑπτακοσίων, λ[αβὼν] τὰ εἴκοσι τάλα[ντα οὐ]δένα λόγον ἐπ[οιήσα]το – – – ἐν τῷ δήμῳ ἑπτακόσια φήσας εἶναι τάλαντα, νῦν τὰ ἡμίση ἀναφέρεις. . . . . .

4–11 ᾗ σαυτὸν . . . λόγον composuit et restituit B 8 φανερὸν temptavi 12 φάσκων legi τοῖς παρὰ . . . ἔχειν B 13 ἐκδοῦναι K οὔτε . . . Ἀλεξάνδρου B 15–16 ἀσφαλέστατον . . . χρήματα restitui 22 εἴωθε καθῆσθαι C. Müller Μνησίθεον B 25–28 τὰ χρήματα . . . ἐποιήσατο] pleraque restituit B

Frag. IV.

. . . στατῆρας ἔλαβε· σὺ δ' ὁ τῷ ψηφίσματι τοῦ [col. 12 σώματος αὐτοῦ τὴν φυλακὴν καταστήσας καὶ οὔτ' ἐκλειπομένην ἐπανορθῶν οὔτε καταλυθείσης τοὺς αἰτίους κρίνας, προῖκα δηλονότι τὸν καιρὸν τοῦτον τεταμίευσαι; καὶ τοῖς μὲν ἐλάττοσι ῥήτορσιν ἀπέτινεν ὁ Ἅρπαλος χρυσίον, τοῖς θορύβου μόνον καὶ κραυγῆς κυρίοις, σὲ δὲ τὸν τῶν ὅλων πραγμάτων ἐπιστάτην παρεῖδεν; καὶ τῷ τοῦτο πιστόν; τοσοῦτον δ', ὦ ἄνδρες δικασταί, τοῦ πράγματος καταπεφρόνηκεν Δημοσθένης, μᾶλλον δέ, εἰ δεῖ μετὰ παρρησίας εἰπεῖν, ὑμῶν καὶ τῶν νόμων, ὥστε τὸ μὲν πρῶτον, ὡς [ἔοικ]εν, ὁμο[λογεῖν μὲν [col. 13 εἰληφέ]ναι τὰ χρήματ[α, ἀλλὰ] κατακεχρῆσθαι αὐτὰ ὑμῖν προδεδανεισμένος εἰς τὸ θεωρικόν· καὶ περιὼν Κνωσίων καὶ οἱ ἄλλοι φίλοι αὐτοῦ ἔλεγον ὅτι ἀναγκάσουσι τὸν ἄνθρωπον οἱ αἰτιώμενοι εἰς τὸ φανερὸν ἐνεγκεῖν ἃ οὐ βούλεται, καὶ εἰπεῖν ὅτι τῷ δήμῳ προδεδάνεισται τὰ χρήματα εἰς τὴν διοίκησιν. ἐπειδὴ δ' ὑμῶν οἱ ἀκούσαντες πολλῷ μᾶλλον ἠγανάκτουν ἐπὶ τοῖς κατὰ τοῦ πλήθους τοῦ ὑμετέρου λόγοις, εἰ μὴ μόνον ἱκανὸν εἴη αὐτῷ ἰδίᾳ δεδωροδοκηκέναι, [ἀλλὰ καὶ τὸν δῆμο]ν [οἴοιτο δεῖν ἀνα]πιμ[πλάναι – – – – λέγων καὶ αἰτιώμενος, ὅτι Ἀλεξάνδρῳ χαριζομένη ἡ βουλὴ [col. 14 ἀνελεῖν αὐτὸν βούλεται· ὥσπερ οὐ πάντας ὑμᾶς εἰδότας, ὅτι οὐδεὶς τὸν τοιοῦτον ἀναιρεῖ, ὃν ἔστιν πρίασθαι, ἀλλ' ὅντινα μήτε πεῖσαι ἔστιν μήτε χρήμασιν διαφθεῖραι, τοῦτον δ[ὴ] σκοποῦσιν ὅπως ἐκ παντὸς τρόπου ἐκποδὼν ποιήσουσιν. κίνδυνος δ' ὡς ἔοικεν ἐστίν, μὴ σύ, ὦ Δημόσθενες, ἀπαραίτητος καὶ ἄπειστος εἶ πρὸς δωροδ[οκίαν, ἢ] μὴ νομίζ[ῃ τις [col. 15 διὰ] τῆς τούτων δωροδοκίας τὰ τυ[χόντα τῶν] πραγμάτων [ἁλίσ]κεσθαι. ο[ὐ γὰρ ἄδηλόν] ἐστιν ὅτι [πάντες] οἱ ἐπι-

Col. 11 (sec. ordinem Blassii) mera frustula praebet 10 ὡς ἔοικεν restitui, utpote cum reliquiis congrua : ωσ . . τελι B 10–11 ὁμολογεῖν . . . ἀλλὰ B 18–19 ἀλλὰ . . . ἀναπιμπλάναι B 23 δὴ] antea δὲ supplevi 26 δωροδοκίαν supplevi νομίζῃ] νομίζητε B olim, nunc νομίζει, sed η potius in 𝔄 stare videtur 27 τυχόντα τῶν Boeckh, Sauppe 28 ἁλίσκεσθαι B ἄδηλον Sauppe πάντες Sauppe

βουλεύοντες τοῖς Ἑλληνικοῖς πράγμασιν τὰς μὲν μικρὰς πόλεις τοῖς ὅπλοις συσκευάζονται, τὰς δὲ μεγάλας τοὺς δυναμένους ἐν αὐταῖς ὠνούμενοι, οὐδ' ὅτι Φίλιππος [τηλικ]οῦτος ἐγένετο [ἐξ ἀρχ]ῆς χρήματα δια[πέμψα]ς εἰς Πελοπόννησον καὶ Θετταλίαν καὶ τὴν ἄλλην Ἑλλάδα, καὶ τοὺς ἐν [δυνάμει] ὄντας ἐν [ταῖς πόλε]σιν καὶ προ[εστῶτας διαφθείρας] . . . . .

Frag. V.

col. 17] *. . . [τερα]τεύῃ, καὶ οὐχ ἅπασιν οἴει φανερὸν εἶναι ὅτι φάσκων ὑπὲρ τοῦ [δήμου] λέγειν ὑπὲρ Ἀλεξάνδρου φανερῶς [ἐδημηγ]όρεις; ἐγὼ γὰρ [οἶμαι καὶ] ἔμπροσθεν [γνῶναι] πάντας ὅ τι ἐποίησας καὶ περὶ Θηβαίων καὶ περὶ τῶν ἄλλων ἁπάντων, καὶ ὅτι χρήματα εἰς [ταῦτα] δοθέντα ἐκ τῆς ['Ασίας αὐ]τὸς σαυτῷ [ἰδίᾳ περιπ]οιησάμε[νος καταν[ήλω]σας τὰ [πολλά, καὶ νῦν δὲ ναυ]τικοῖς ἐργάζῃ [τι]σὶν καὶ ἐκδόσεις δί[δως], καὶ πριάμενος ο[ἰκί]αν . . . . μο . . . . . υπα . . . ν τω . . . . . ρωι, οὐκ οἰκεῖς ἐν Πειραιεῖ, ἀλλ' ἐξορμεῖς ἐκ τῆς πόλεως. δεῖ δὲ τὸν δίκαιον δημαγωγὸν σωτῆρα τῆς [πατρίδος εἶναι, μὴ δραπέ-*

col. 18] *την. ἐπειδὴ δὲ νῦν Ἅρπαλος οὕτως ἐξαίφνης] πρὸς τὴν Ἑλλάδα προσέπεσεν ὥστε μηδένα προαισθέσθαι, τὰ δ' ἐν Πελοποννήσῳ καὶ τῇ ἄλλῃ Ἑλλάδι οὕτως ἔχοντα κατέλαβεν ὑπὸ τῆς ἀφίξεως τῆς Νικάνορος καὶ τῶν ἐπιταγμάτων ὧν ἧκεν φέρων παρ' Ἀλεξάνδρου περί τε τῶν φυγάδων καὶ περὶ τοῦ τοὺς κοινοὺς συλλόγους Ἀχαιῶν τε καὶ Ἀρκάδων καὶ*

col. 19] *Βοιωτῶν – – – – ταῦτα σὺ πα[ρῄρησαι] τῷ ψηφίσματι, συλλαβὼν τὸν Ἅρπαλον, καὶ τοὺς μὲν Ἕλληνας ἅπαντας πρεσβεύεσθαι πεποίηκας ὡς Ἀλέξανδρον, οὐκ ἔχοντας ἄλλην οὐδεμίαν ἀποστροφήν, τοὺς δὲ σ[ατράπας], οἳ αὐτοὶ ἂν ἧκον*

3 *τηλικοῦτος* Boeckh 4 *ἐξ ἀρχῆς* Boeckh *διαπέμψας* Sauppe 5 *δυνάμει* B 6 *ταῖς πόλεσιν* et *προεστῶτας* B : *προστάτας τοῦ δήμου* Sauppe *διαφθείρας* addidi 7 *τερατεύῃ* B 8 *δήμου* edd. 8–9 *ἐδημηγόρεις . . . γνῶναι* Sauppe 10 *ἐποίησας*] *πεποιηκας* 𝔄*, ut vid., corr. 𝔄[1] : *ὅτι [τοῦτ'] ἐποίησας* B 11–12 *ταῦτα . . . ἰδίᾳ* B 12 *περιποιησάμενος* Sauppe 12–14 *κατανήλωσας . . . οἰκίαν* B 16–17 *πατρίδος . . . ἐξαίφνης* exempli gratia restituit B 18 *Ἑλλάδα*] *ελπιδα* 𝔄*, corr. 𝔄[2] 23 *παρῄρησαι* B 26 *σατράπας* Sauppe

[ἑκόν]τες πρὸς ταύτην τὴν δύναμιν, ἔχοντες τὰ χρήματα καὶ τοὺς στρατιώτας ὅσους ἕκαστος αὐτῶν εἶχεν, τούτους σύμπαντας οὐ μόνον κεκώλυκας ἀποστῆναι ἐκείνου τῇ συλλήψει τῇ Ἁρπάλου, ἀλλὰ καὶ . . . . καστον . . . .

Frag. VI.

. . . [ὑπὸ] Δημοσθένους [ἀπο]σταλείς, παρὰ δ' Ὀλυμπιάδι [col. 20] Καλλίας ὁ Χαλκιδεύς, ὁ Ταυροσθένους ἀδελφός· τούτους γὰρ ἔγραψε Δημοσθένης Ἀθηναίους εἶναι καὶ χρῆται τούτοις πάντων μάλιστα. καὶ οὐδὲν θαυμαστόν· οὐδέποτε γὰρ οἶμαι ἐπὶ τῶν αὐτῶν μένων εἰκότως φί[λους] τοὺς ἀπ' Εὐρίπου κέκτηται. εἶτα σὺ περὶ [φιλ]ίας πρὸς ἐμὲ τολ[μήσεις αὐτίκα πολ]λὰ [λέγειν] – – – [ταύτην τὴν φιλίαν διέ]λυσας αὐ[τός, [col. 21] ὅτε] χρυσίον κατὰ τῆς [πατρ]ίδος ἔλαβες καὶ [μετ]εβάλο[υ]. καὶ κατα[γέλα]στον μὲν σαυτὸν ἐποίησας, κατῄ[σχυν]ας δὲ τοὺς ἐκ τῶν ἔμπροσθεν χρόνων [τῶν α]ὐτῶν τί σοι προ[ελομέ]νους· καὶ ἐξὸν [ἡμῖν] λαμπροτάτοις [εἶναι] παρὰ τῷ δήμῳ [καὶ τὸ]ν ὑπόλοιπον [βίον ὑ]πὸ δόξης χρη[στῆς πα]ραπεμφθῆν[αι, ἅπα]ντα ταῦτα ἀνέτρ[εψας, κα]ὶ οὐκ αἰσχύνει νυνὶ τηλικοῦτος ὢν ὑπὸ μειρακίων κρινόμενος περὶ δωροδοκίας. καίτοι ἔδει τοὐναντίον ὑφ' ὑμῶν παιδεύεσθαι τοὺς νεωτέρους τῶν ῥητόρων, καὶ εἴ τι προπετέστερον ἔπραττον ἐπιτιμᾶσθαι [col. 22] καὶ κολάζεσθαι. νῦν δὲ τοὐναντίον οἱ νέοι τοὺς ὑπὲρ ἑξήκοντα ἔτη σωφρονίζουσιν. διόπερ, ὦ ἄνδρες δικασταί, δικαίως ἂν ὀργίζοισθε Δημοσθένει, εἰ καὶ δόξης ἱκανῆς καὶ πλούτου πολλοῦ δι' ὑμᾶς μετεσχηκὼς μηδ' ἐπὶ γήρως ὀδῷ κήδεται τῆς πατρίδος. ἀλλ' ὑμεῖς μὲν ᾐσχύνεσθε ἐπὶ . ησ . . . . υ τοὺς περιεστηκότας τῶν Ἑλλήνων, ὅτε [τινῶ]ν κατεχειρο-

1 ἑκόντες Boeckh 10 φιλίας B τολμήσεις αὐτίκα B, ex Or. ii. § 9; tum μάλα λέγειν B, πολλὰ ego 11 ταύτην τὴν φιλίαν διέλυσας B olim (nunc οὐ διαλύσας) 12 ὅτε B πατρίδος Boeckh μετεβάλου; B 13 καταγέλαστον Bab. 13–17 κατῄσχυνας . . . ἀνέτρεψας restituit B 15 ἡμῖν] vel ὑμῖν, *cf.* l. 19 24 ἐπὶ γήρως οὐδῷ ex Hyp. citat Pollux (ii 15): ὀδῷ (Bab., B) cum spatio melius convenit 25 πατρίδος (C. Müller) cum reliquiis convenit 26 τινῶν B

τονεῖτε, εἰ τοιούτους [καὶ] δημαγωγοὺς καὶ στρατηγοὺς καὶ φύλακας τῶν πραγμάτων [ἔχειν δοκ]οῖτ[ε . . . .

Frag. VII.

col. 24] Οὐ γάρ ἐστιν ὁμοίως [δεινό]ν, εἴ τις ἔλαβεν, ἀλλ' εἰ ὅθεν
μὴ δεῖ, οὐδέ γ' ὁμοίως [ἔχ]ου[σ]ιν οἱ ἰδιῶται [οἱ λαβ]όντες τὸ
χρυσίον καὶ οἱ ῥήτορες καὶ οἱ στρατηγοί. διὰ τί; ὅτι τοῖς
μὲν ἰδιώταις Ἅρπαλος ἔδωκεν φυλάττειν τὸ χρυσίον, οἱ δὲ
στρατηγοὶ καὶ οἱ ῥήτορες πράξεων ἕνεκα [εἰλή]φασιν. οἱ
δὲ νόμοι τοῖς μὲν ἀδικοῦσιν [ἁπλ]ᾶ, τοῖς δὲ δω[ροδοκοῦσι]ν
δεκαπλᾶ [τὰ ὀφλ]ήματα π[ρ]οστάτ[τουσιν] ἀποδιδόναι, [καὶ
θάνατο]ν τὸ τίμη[μα τιμῆ]σαι ἔστιν ἐκ [τῶν νό]μων τούτοις
[μόνοι]ς· οὕτω καὶ [αἱ ζημί]αι παρ' ὑμῶν [καθεστᾶσ]ιν κατ'
αὐτῶν [δεινότερ]αι. ὅπερ γὰρ [καὶ ἐν τ]ῷ δήμῳ εἶπον, πολλὰ
col. 25] ὑμεῖς, ὦ ἄνδρες δικασταί, δί[δοτε ἑ]κόντες τοῖς στρατηγοῖς
καὶ τοῖς ῥήτορσιν ὠφελεῖσθαι, οὐ τῶν νόμων αὐτοῖς δεδωκότων
τοῦτο ποιεῖν, ἀλλὰ τῆς ὑμετέρας πραότητος καὶ
φιλανθρωπίας· ἓν μόνον παραφυλάττοντες, ὅπως δι' ὑμᾶς
καὶ μὴ καθ' ὑμῶν ἔσται τὸ λαμβανόμενον. καὶ Δημοσθένη
καὶ Δημάδην ἀπ' αὐτῶν τῶν ἐν τῇ πόλει ψηφισμάτων καὶ
προξενιῶν οἶμαι πλείω ἢ ἑξήκοντα τάλαντα ἑκάτερον εἰληφέναι,
ἔξω τῶν βασιλικῶν καὶ τῶν παρ' Ἀλεξάνδρου. οἷς δὲ
μήτε ταῦτα ἱκανά ἐστιν μήτ' ἐκεῖνα, ἀλλ' ἤδη ἐπ' αὐτῷ τῷ
σώματι τῆς πόλεως δῶρα εἰλήφασι, πῶς οὐκ ἄξιον τούτους
col. 26] κολάζειν ἐστίν; ἀλλὰ τῶν μὲν ἰδιωτῶν ὑμῶν ἐάν τις ἀρχήν
τιν[α ἄρχων] δι' ἄγνοιαν ἢ [δι' ἀπει]ρίαν ἁμάρτῃ τ[ι, οὗτος]
ὑπὸ τούτων κ[αταρρη]τορευθεὶς ἐν τῷ δικαστηρίῳ ἢ ἀποθανεῖται
ἢ ἐκ τῆς πατρίδος ἐκπεσεῖται· αὐτοὶ δὲ τηλικαῦτα
ἀδικήσαντες τὴν πόλιν οὐδεμιᾶς τιμωρίας τεύξονται; καὶ

1 *τοιούτους* Sauppe: *τοιουτος* 𝔄, ut vid. E col. 23 nil praeter litteras paucas restat 3 *δεινόν* Sauppe 4 *ἔχουσιν* B *λαβόντες* Sauppe, *οἱ* praemittit B 7 *εἰλήφασιν* Bab. 8 *ἁπλᾶ* B (ex Arist. 'Αθ. Πολ. 54, 2). Quae sequuntur restituit B 13 *δίδοτε* Sauppe 24 *ἄρχων* Boeckh *ἀπειρίαν* Bab. *οὗτος* Sauppe 25 *καταρρητορευθεὶς* Sauppe: *-τορηθεις* (vel *-γορηθεις*) 𝔄*, corr. 𝔄[2]

Κόν[ων] μὲν ὁ Παιανιεύς, [ὅτι] ὑπὲρ τοῦ ὑοῦ ἔλαβεν τὸ θεωρικὸν ἀποδημοῦντος, πέντε δραχμῶν ἕνεκεν ἱκετεύων ὑμᾶς τάλαντον ὦφλεν ἐν τῷ δικαστηρίῳ, τούτων κατηγορούντων· καὶ Ἀριστόμαχος ἐπιστάτης γενόμενος τῆς Ἀκαδημείας, ὅτι σκαφεῖον ἐκ τῆς παλαίστρας μετενεγκὼν εἰς τὸν κῆπον τὸν αὑτοῦ πλησίον ὄντα ἐχρῆτο καὶ ἔφη . . . .

Frag. VIII.

[Οὐ μέντοι] ἡμᾶς ὁ δῆμ[ος ἐν τῷ] μετὰ ταῦτα χρ[όνῳ] οὐκ [col. 28 εἴα προσ[ιέναι] αὐτῷ οὐδὲ δια[λέγεσθαι], ἀλλὰ καὶ συ[μβούλοις ἐχ]ρῆτο καὶ σ[υνηγόροις] – – – [ἐ]πὶ τὴν δι[οίκησιν τῶ]ν αὑτοῦ ἅπασαν [ταμ]ίαν ἐχειροτόνησεν, ὑπολαμβάνων χάριν αὐτῷ παρ' ἡμῶν ὀφείλεσθαι, ὅπερ δίκαιον ἦν. καὶ πρὸς τούτοις ἀγώνων ἡμῖν ὕστερον πολλῶν γεγενημένων [ἐξ] ἐκείνων τῶν [πραγ]μάτων [καὶ περὶ τοῦ π]ολέμου, οὐδε- [col. 29 [πώποτε ἡ]μ[ῶ]ν οὗτοι [κατε]ψηφίσαντο, ἀλλ' ἐκ πάντων ἔσωσαν, [ὅπερ μ]έγιστον καὶ [ἀξιοπι]στότατον τῆς [τοῦ δήμ]ου [δια]νοία[ς σημεῖον. καὶ γρά]ψαι, ὦ [Δημόσθενες] – – – – [ὁ δῆ]μος ἐποίησεν, ὥστ' αὐτὸς ὑπὸ τῆς τύχης ἀφαιρεθεὶς τὸν [col. 30 στέφανον, ἡμῶν ὃν ἔδωκεν οὐκ ἀφείλετο. οὕτως οὖν ἡμῖν τοῦ δήμου προσενηνεγμένου, οὐ πάντ' ἂν δικ[αίως] αὐτῷ ἡμεῖς [ὑπη]ρετοῖμεν καὶ εἰ δ[έοι ἀ]ποθνήσκοιμεν [ὑπὲρ] αὐτοῦ; ἐγὼ – – – – αν καὶ λόγου δύναμιν ἀποδεικνύμενος [col. 31 διατετέλεκας· καὶ ὅτε μὲν ἠγοῦ τὴν βουλὴν ἀποφανεῖν τοὺς ἔχοντας τὸ χρυσίον, πολεμικὸς ὢν καὶ ταράττων τὴν πόλιν, ἵνα τὴν ζήτησιν ἐκκρούοις· ἐπειδὴ δὲ ἀναβάλοιτο τὸ ἀποφῆναι ἡ βουλή, οὔπω φάσκουσα εὑρηκέναι, τότ' ἐν τῷ δήμῳ συγχωρῶν Ἀλεξάνδρῳ καὶ τοῦ Διὸς καὶ τοῦ Ποσειδῶνος εἶ[ναι εἰ βούλ]οιτο. . . .

1 Κόνων edd. ὅτι edd. τουου 𝔄*, υ superscr. 𝔄² 7-9 οὐ μέντοι . . . συνηγόροις restituit B 9 διοίκησιν τῶν B 10 ταμίαν ego 12-13 ἐξ et πραγμάτων ego 13-16 καὶ περὶ . . . Δημόσθενες B plerumque 14 ἡμῶν] υμων cum reliquiis magis convenit οὗτοι vix certum est 15 ἀξιοπιστότατον supplevi 19 πάντ' ἂν] παντα 𝔄, corr. B δικαίως Sauppe 20 εἰ δέοι Boeckh, Bab. ὑπὲρ edd. 26 εἶναι υἱῷ εἰ βούλοιτο Sauppe: υἱῷ om. (propter spatium) B

Frag. IX.

col. 34] . . . [τῶν ἐγ]κλημάτων, καὶ κήρυγμα περὶ [τού]των ἐποιήσατο· οἱ δ' [ἀντὶ] τοῦ ἀποδόντες ἃ ἔλαβον ἀπηλλάχθαι τιμωρίας καθ' αὑτῶν καὶ ζητήσεις ἔγραφον. τοὺς δὴ τὸ μὲν ἐξ ἀρχῆς ἀδικήσαντας καὶ δωροδοκήσαντας, ἀδείας δ' αὐτοῖς δοθείσης μὴ ἀποδόντας τὸ χρυσίον τί χρὴ ποιεῖν; ἐᾶν ἀτιμωρήτους; ἀλλ' αἰσχρόν, ὦ ἄνδρες δικασταί, ἰδίων ἕνεκα ἐγκλημάτων πόλεως σωτηρίαν κινδυνεύειν· οὐ γὰρ ἔστιν ὑμᾶς τούτων ἀποψηφίσασθαι, μὴ [οἰομένο]υς ἀναδέξα[σθαι δεῖν ἀδική]-
col. 35] μα[τα] – – – – μ[ὴ τοίνυν, ὦ ἄνδρες] δικασ[ταί, προτιμᾶτε] τὴν τούτων [πλεο]νεξίαν τ[ῆς ὑμετέ]ρας αὐτῶν [σωτηρί]ας· μηδὲ λη[μμάτων] αἰσχρῶν ἕν[εκα τὸν] πόλεμον, ἀλ[λὰ πρα]γμάτων
col. 36] ἀξιω[τέρων καὶ] μεταλ[λ]α[γῆς ἀμείνονος] ποιή[σησθε]. . . .

Frag. X.

col. 38] . . . αὐτῷ παρ' ἑκάστου ἡμῶν γίγνεσθαι, καὶ τὸ μὲν κατηγορεῖν ἐν τῷ δικαστηρίῳ καὶ ἐξελέγχειν τοὺς εἰληφότας τὰ χρήματα καὶ δεδωροδοκηκότας κατὰ τῆς πατρίδος ἡ[μῖν] προσέταξεν [τοῖς ᾑρημένοις] κατη[γόροις]· τὸ δ' ἀ[ποφῆναι τοὺς ε]ἰληφότας [ἀπέδωκεν τ]ῇ βουλῇ [τῇ ἐξ Ἀρείου] πάγου, ἣ [τούτους εἰς τ]ὸν δῆ[μον ἀπέδει]ξεν· τὸ [δὲ κολάσαι τ]οῖς
col. 39] [δικασταῖς ὑμῖν] – – – – [ἐξ Ἀρείου] πάγου. ἐὰν δὲ ἡ ψῆφος μὴ ἀκόλουθος γένηται τοῖς νόμοις καὶ τοῖς δικαίοις, τοῦτο δή, ὦ ἄνδρες δικασταί, παρ' ὑμῖν ἔσται καταλελειμμένον. διόπερ δεῖ πάντας ὑμᾶς [ἀποβλέψαντας εἰς] τὴν σωτηρίαν τῆς πόλεως καὶ τὴν ἄλλην εὐδαιμονίαν τὴν ὑπάρχουσαν ὑμῖν ἐν τῇ χώρᾳ καὶ κοινῇ πᾶσι καὶ ἰδίᾳ ἑνὶ ἑκάστῳ, καὶ εἰς τοὺς τάφους τοὺς τῶν προγόνων, τιμωρήσασθαι τοὺς ἀδικοῦντας

Coll. 32 et 33 mera fragmenta sunt 1–2 *τούτων* et *ἀντὶ* Sauppe 8 *οἰομένους κτλ.* B 9–12 *μὴ τοίνυν . . . ποιήσησθε*] Blassii restitutionem exempli gratia secutus sum Coll. 36 et 37 nil nisi fragmenta sunt 15–19 *ἡμῖν . . . ὑμῖν* ita B, quem secutus sum 22 *ἀποβλέψαντας εἰς*. Boeckhii supplementum, exempli gratia inserui; lacuna autem est circa 55 litterarum 23 *τὴν* ante *εὐδαιμονίαν* habet 𝔄, delet B

ὑπὲρ ἁπάσης τῆς πόλεως, καὶ μήτε λόγον παράκλησιν - – – - [τοὺς εἰληφό]τας δῶ[ρα κατὰ τῆς] πατρίδος καὶ τῶν [col. 40 νόμων· μηδὲ τοῖς δακρύοις τοῖς Ἁγνωνίδου προσέχετε τὸν νοῦν, ἐκεῖνο λογιζόμενοι, ὅτι ἀτυχήσαντι μὲν – – – οὗτος δ' ἂν [κλαίων] οὐ δίκαια ποιήσ[ειεν], ὥσπερ καὶ οἱ λ[ῃσταὶ] οἱ ἐπὶ τοῦ τροχο[ῦ κλαί]οντες, ἐξὸν αὐτοῖς μὴ ἐμβαίνειν εἰς τὸ πλοῖον. οὕτω καὶ Δημοσθένης τί προσ[ῆκον] κλαιήσει, [δ]έ[ον αὐτὸν] μὴ λαμ[βάνειν]; – – –

Citationes ex hac oratione exstant tres:

(*a*) Ἀλλὰ τοὺς νεωτέρους ἐπὶ βοήθειαν καλεῖς, οὓς ὕβριζες καὶ ἐλοιδοροῦ ἀκρατοκώθωνας ἀποκαλῶν; [Priscianus xviii, § 235.]

(*b*) Εἰ μέν τις ἀκρατέστερον ἔπιεν, ἐλύπει σε. [Athenaeus x. 424 D.]

(*c*) Οὐδὲ μεχρὶ παραγραφῆς. [Harpocration *s.v.* παραγραφή.]

Porro papyrus ipse duo habet fragmenta, quae certo loco referri nequeunt:

(*d*) . . . . θαι εὐεργετήματα· οὐ γὰρ τὴν ἑτέρων πατρίδα εὖ ποιεῖν αὐτούς, ἀλλὰ τὴν ἑαυτῶν, οὐδὲ μ . . . .

(*e*) . . . . ὑπὸ τοῦ ψηφίσματος [ἡλωκέ]ναι σε αὐτόμ[ατον οὐ]κ ἐποίησαν . . . . . . γενομεν . . . .

Fragmenta papyracea minora non repeto; apud Blassium inveniet curiosus investigator.

1 post παράκλησιν lacuna est circa 45 litterarum 2 τοὺς εἰληφότας codd. 5 κλαίων et ποιήσειεν B λησταὶ Boeckh 6 επι του χορ 𝔄*, ρ delevit et τρο supra addidit 𝔄²: τροχοῦ κλαίοντες Boeckh 7–8 προσῆκον et δέον αὐτὸν B 8 λαμβάνειν Boeckh, Sauppe

VI (VI)

[ΕΠΙΤΑΦΙΟΣ]

col. 1] Τῶν μὲν λόγων τῶν μελλόντων ῥηθήσεσ[θαι ἐπὶ] τῷδε
1 τῷ τάφῳ [περί τε] Λεωσθένους τοῦ στρατηγοῦ καὶ περὶ τῶν
ἄλλων τῶν μετ' ἐκείνου τετελευτηκότων ἐν τῷ πολέμῳ,
ὡς ἦσαν ἄνδρες ἀγαθοί, μά[ρτυς αὐτὸς ὁ χ]ρόνος ὁ σ . . . .
. . . . ωι τὰ ὅπλ[α] . . . . ς ἀνθρω[π . . . . .
οὐδέν]ων πω κα[λλίω . . . . . . ἑ]ώρακε ωρ . . . . [ἐν τῷ
π]αντὶ αἰῶ[νι . . . . γ]εγενη . . . . ἄνδρας
. . . . τετελευτ . . . . οὔτε πρ[άξεις μεγα-
2 λ]οπρεπεστέρ[ας. διὸ] καὶ μάλιστα [φοβοῦ]μαι, μή μοι συμ-
βῇ τὸν λόγον ἐλάττ[ω φαίν]εσθαι τῶν ἔργων τῶν γεγενη-
μένων. πλὴν κατ' [ἐκεῖ]νό γε πάλιν θα[ρρῶ ὅ]τι τὰ ὑπ'
ἐμοῦ παραλειπόμενα ὑμεῖς οἱ ἀκούοντες προσθήσετε· οὐ γὰρ
ἐν τοῖς τυχοῦσιν οἱ λόγοι ῥηθήσονται, ἀλλ' ἐν αὐτοῖς τοῖς
col. 2] μάρτυσι τῶν ⟨ἐκ⟩είνοι[ς π]επραγμένων. Ἄξιον δέ ἐστιν
3 ἐπαινεῖν τὴν μὲν πόλιν ἡμῶν τῆς προαιρέσεως ἕνεκεν,
τὸ προελέσθαι ὅμοια καὶ ἔτι σεμνότερα καὶ καλλίω τῶν
[πρότ]ερον αὐτῇ πεπραγμένων, τοὺς δὲ τετελευτηκότας τῆς
ἀνδρείας τῆς ἐν τῷ πολέμῳ, τὸ μὴ καταισχῦναι τὰς τῶν
προγόνων ἀρετάς, τὸν δὲ στρατηγὸν Λεωσθένη διὰ ἀμφό-
τερα· τῆς τε γὰρ προαιρέσεως εἰσηγητὴς τῇ πόλει ἐγένετο,
καὶ τῆς στρατείας ἡγεμὼν τοῖς πολίταις κατέστη.

Titulus in 𝕾 nullus est   4 μαρτ 𝕾, ut vid. : μάρτυς Buecheler χρόνος Cb.   οσ potius quam οι 𝕾   5 τὰ ὅπλα] ο male formatum, et λ dubium est : τὰς πρ[άξεις] Bab., cett., sed non videtur ς esse   6 καλλίω B : κάλλιον Cb.   [ε]ωρακεν (non -ργ, ut B) 𝕾, ν del. 𝕾[1]   8–9 πράξεις . . . διὸ suppl. B   9 post μάλιστα non fuit γε, ut B putat   φοβοῦμαι Bab.   10 φαίνεσθαι Cb., alii   11 ἐκεῖνο . . . ὅτι Cb., al.   12 καταλειπομενα 𝕾, corr. Sauppe   14 ἐκείνοις] εινοῖ 𝕾, corr. Sauppe

Περὶ μὲν οὖν τῆς πόλεως διεξιέναι τὸ καθ' ἕκαστον τῶν 4
πρότερον ⟨ἀνὰ⟩ πᾶσαν τὴν Ἑλλάδα ⟨πεπραγμένων⟩ οὔτε ὁ
χρόνος ὁ παρὼν ἱκανός, οὔτε ὁ καιρὸς ἁρμόττων τῷ μακρο-
λογεῖν, οὔτε ῥᾴδιον ἕνα ὄντα τοσαύτας καὶ τηλικαύτας πράξεις
ἐπελθεῖν καὶ μνημονεῦσαι· ἐπὶ κεφαλαίου δὲ οὐκ ὀκνήσω
εἰπεῖν περὶ αὐτῆς. ὥσπερ [γὰρ] ὁ ἥλιος πᾶσαν τὴν οἰκουμένην 5
ἐπέρχεται, τὰ[ς μὲν] ὥρας διακρίνων [κατὰ τὸ π]ρέπον καὶ [col. 3
καλῶς [πάντα καθ]ιστάς, τοῖς δὲ σ[ώφροσι καὶ ἐπ]ιεικέσι τ[ῶν
ἀνθρώπ]ων ἐπιμ[ελούμενος κ]αὶ γεν[έσεως καὶ τροφῆ]ς καὶ
[καρπ]ῶν κ[αὶ τῶν ἄλλων ἁπά]ντων τῶν εἰς τὸν βίον
χρησίμων, οὕτως καὶ ἡ πόλις ἡμῶν διατελεῖ τοὺς μὲν κακοὺς
κολάζουσα, τοῖς δὲ δικαίοις β[οηθοῦσα], τὸ δὲ ἴσον ἀν[τὶ τῆς
πλεονε]ξίας ἅπασιν [φυλάττουσα, τ]οῖς δὲ ἰδί[οις κινδύνοις
κα]ὶ δαπάναι[ς κοινὴν ἄδει]αν τοῖς Ἕλλη[σιν παρασκευ]ά-
ζουσα. [ἀλλὰ περὶ μὲ]ν τῶν κοινῶ[ν ἔργων τῆς πόλ]εως 6
ὥσπερ [προεῖπον φρά]σαι ⟨παρ⟩αλείψω, πε[ρὶ δὲ Λεωσθέ-
ν]ους καὶ τῶν ἄ[λλων τοὺς λόγ]ους ποιήσομ[αι. νῦ]ν δὲ
πόθεν ἄρξωμα[ι λέγων], ἢ τίνος πρῶτον μνησθῶ; πότερα
περὶ τοῦ γένους αὐτῶν ἑκάστων διεξέλθω; ἀλλ' εὔηθες εἶναι
ὑπολαμβάνω· τὸν μὲν γὰρ ἄλλους τινὰς ἀνθρώπους ἐγκω- 7
μιάζοντα, οἳ πολλαχόθεν εἰς μίαν πόλιν συνεληλυθότες [col. 4
οἰκοῦσι γένος ἴδιον ἕκαστος συνεισενεγκάμενος, τοῦτον μὲν
δεῖ κατ' ἄνδρα γενεαλογεῖν ἕκαστον· περὶ δὲ Ἀθηναίων
ἀνδρῶν τοὺς λόγους ποιούμενον, οἷς ἡ κοινὴ γένεσις α[ὐτό-
χ]θοσιν οὖσιν ἀνυπέρβλητον τὴν εὐγένειαν ἔχει, περίεργον

2 ἀνὰ et πεπραγμένων, Cobeti supplementum, exempli gratia recepi. 5 ἀπελθειν 𝕾, corr. Bab. 6 γὰρ Bab. 7 κατὰ] εἰς B : ἀεὶ κατὰ Bab. : καὶ εἰς Sauppe, utrumque pro spatio nimium 8 πάντα καθιστάς Cb. 8–10 σώφροσι . . . ἁπάντων] B secutus sum 9 καὶ τροφῆς Herwerden : τῆς τρ. B 12 τοῖς . . . δικαίοις] vel τοὺς . . . δικαίους 𝕾 βοηθοῦσα Piccolomini ἀντὶ τῆς πλεονεξίας] anon. ap. Bab. 13 φυλάττουσα B 13–14 τοῖς δὲ . . . Ἕλλησιν e Lycurg. 104 restituit B 14 παρασκευάζουσα Bab. 15 ἀλλὰ . . . πόλεως] B secutus sum 16 προεῖπον B φράσαι Kayser παραλείψω] αλιφω 𝕾, corr. Müller 16–17 περὶ δὲ . . . ποιήσομαι Bab. 17 νῦν Bab. : [ἀπορ]ῶ Cb., B ; sed littera potius ν est quam ω 18 λέγων Sauppe, λέγειν Cb. πρωτον 𝕾, corr. Cb. 20 τὸν μὲν γὰρ] το μεν 𝕾, corr. Bab. 22 τοῦτον Cb., B : τουτων 𝕾 24 ποιούμενος Cb.

8 ἡγοῦμαι εἶναι ἰδίᾳ τὰ γένη ἐγκωμιάζειν. ἀλλὰ περὶ τῆς
παιδείας αὐτῶν ἐπιμνησθῶ, καὶ ὡς ἐν πολλῇ σωφροσύνῃ
παῖδες ὄντ[ες ἐτρά]φησαν καὶ ἐπαιδε[ύθησαν] ὅπερ εἰώθασιν
[παιδεύ]ειν; ἀλλ' οἶμαι π[άντας] εἰδέναι ὅτι τούτου [ἕνεκα]
τοὺς παῖδας παιδεύομεν, ἵνα ἄνδρες ἀγαθοὶ γένωνται· τοὺς
δὲ γεγενημένους ἐν τῷ πολέμῳ ἄνδρας ὑπερβάλλοντας τῇ
ἀρετῇ, πρόδηλόν ἐστιν ὅτι παῖδες ὄντες καλῶς ἐπαιδεύθησαν.
9 ἁπλούστατον οὖν ἡγοῦμαι εἶναι τὴν ἐν τῷ πολέμῳ διεξελθεῖν
ἀρετήν, καὶ ὡς πολλῶν ἀγαθῶν αἴτιοι γεγένηνται τῇ πατρίδι
καὶ τοῖς ἄλλοις Ἕλλησιν. ἄρξομαι δὲ πρῶτον ἀπὸ τοῦ
10 στρατηγοῦ· καὶ γὰρ δίκαιον. Λεωσθένης γὰρ ὁρῶν τὴν
col. 5] Ἑλλάδα πᾶσαν τεταπεινωμένην καὶ [ὥσπερ] ἐπτη[χυ]ῖαν,
κατεφθαρμένην ὑπὸ τῶν δωροδοκούντων παρὰ Φιλίππου καὶ
Ἀλεξάνδρου κατὰ τῶν πατρίδων τῶν αὑτῶν, καὶ τὴν μὲν
πόλιν ἡμῶν [δεομέ]νην ἀνδρός, τὴν δ' Ἑλλάδα πᾶσαν πόλεως,
ἥτις προστῆναι [δυ]νήσεται τῆς ἡγεμονίας, [ἐπέ]δωκεν ἑαυτὸν
μὲν τῇ πατρίδι, τὴν δὲ πόλιν τοῖς Ἕλλησιν εἰς τὴν ἐλευ-
11 θερίαν· καὶ ξενικὴν μὲν δύναμιν ⟨συ⟩στησάμενος, τῆς δὲ
πολιτικῆς ἡγεμὼν καταστάς, τοὺς πρώτους ἀντιταξαμένους
τῇ τῶν Ἑλλήνων ἐλευθερίᾳ Βοιωτοὺς καὶ Μακεδόνας καὶ
Εὐβοέας καὶ τοὺς ἄλλους συμμάχους αὐτῶν ἐνίκησε μαχό-
12 μενος ἐν τῇ Βοιωτίᾳ. ἐντεῦθεν δ' ἐλθὼν εἰς Πύλας καὶ
καταλαβὼν τὰς [πα]ρόδους, δι' ὧν καὶ πρότερον ἐπὶ τοὺς
Ἕλληνας οἱ βάρβαροι ἐπορεύθησαν, τῆς μὲν ἐπὶ τὴν Ἑλ-
λάδα πορείας Ἀντίπατρον ἐκώλυσεν, αὐτὸν δὲ καταλαβὼν
ἐν τοῖς τόποις τούτοις καὶ μάχῃ νικήσας, ἐπολιόρκει κατα-
13 κλείσας εἰς Λαμίαν. Θετταλοὺς δὲ καὶ Φωκέας καὶ Αἰτω-
λοὺς καὶ τοὺς ἄλλους ἅπαντας τοὺς ἐν τῷ τόπῳ συμμάχους

3 ἐπαιδεύθησαν Bab. : επεδε . . 𝕾   4 παιδεύειν Müller   πάντας, ἕνεκα Bab.   12 ὥσπερ ἐπτηχυῖαν] κατεπτηχυῖαν edd., sed κατ· ante κατεφθαρμένην non placet. Lacuna est 5 vel 6 litterarum   15 δεομένην Bab.   16 δυνήσεται Schäfer ; ν non certum est   ἐπέδωκεν Kayser, al.   μενεναυτον 𝕾, corr. Bab.   18 στησαμενος 𝕾, corr. Bab.   23 παρόδους Spengel ; ρ dubium est. Potest etiam esse, sed διόδους (Sandys) lacunam non complet

ἐποιήσατο, καὶ ὧν Φίλιππος καὶ Ἀλέξανδρος ἀκόντων ἡγού-
μενοι ἐσεμνύνοντο, τούτων Λεωσθένης ἑκόντων τὴν ἡγεμονίαν
ἔλαβεν. συνέβη δ᾽ αὐτῷ τῶν μὲν πραγμάτων ὧν προείλετο
κρατῆσαι, τῆς δὲ εἱμαρμένης οὐκ ἦν περιγενέσθαι. δίκαιον [col. 6
δ᾽ ἐστὶν μὴ μόνον ὧν ἔπραξεν Λεωσθέν[ης ζῶν] χάριν ἔχειν 14
αὐτῷ πρ[ώτῳ], ἀλλὰ καὶ τῆς ὕστερον [γενομέν]ης μάχης
μετὰ τ[ὸν ἐκείνο]υ θάνατον, καὶ τῶν ἄλλων ἀγαθῶν τῶν ἐν
τῇ σ[τρατείᾳ τ]αύτῃ συμβάντων τοῖς Ἕλλησιν· ἐπὶ γὰρ
τοῖς ὑπὸ Λεωσθένους τεθεῖσιν θεμελίοις οἰκοδομοῦσιν οἱ νῦν
τὰς ὕστερον πράξεις. καὶ μηδεὶς ὑπολάβῃ με τῶν ἄλλων 15
πολιτῶν μηδένα λόγον ποιεῖσθαι, [ἀλλὰ] Λεωσθένη μόνον
ἐγκωμιάζειν. συμβαίνει γὰρ τὸν Λεωσθένους ἔπαινον [ἐπὶ]
ταῖς μάχαις ἐγκώμιον καὶ τῶν ἄλλων πολιτῶν εἶναι· τοῦ μὲν
γὰρ βουλεύεσθαι καλῶς ὁ στρατηγὸς αἴτιος, τοῦ δὲ νικᾶν
μαχομένους οἱ κινδυνεύειν ἐθέλοντες τοῖς σώμασιν· ὥστε
ὅταν ἐπαινῶ τὴν γεγονυῖαν νίκην, ἅμα τῇ Λεωσθένους ἡγε-
μονίᾳ καὶ τὴν τῶν ἄλλων ἀρετὴν ἐγκωμιάζω. τίς γὰρ οὐκ 16
ἂν δικαίως ἐπαινοίη τῶν πολιτῶν τοὺς ἐν τῷδε τῷ πολέμῳ
τελευτήσαντας, οἳ τὰς ἑαυτῶν ψυχὰς ἔδωκαν ὑπὲρ τῆς τῶν
Ἑλλήνων ἐλευθερίας, φανερωτάτην ἀπόδειξιν ταύτην ἡγού-
μενοι εἶναι τοῦ [βούλ]εσθαι τῇ Ἑλλάδι τὴν ἐλευθερίαν
περιθεῖναι, τὸ μαχόμ[ενοι] τελευτῆσαι ὑπὲρ αὐτῆς. μέγα δ᾽ [col. 7
αὐτοῖς συνεβάλετο εἰς τὸ προθύμως ὑπὲρ τῆς [Ἑλλά]δος 17
ἀγωνίσασθαι τὸ ἐν τῇ Βοιωτίᾳ τὴν μάχην τὴν π[ρώτην]
γενέσθαι. ἑώρων γὰρ τὴν πόλιν τῶν Θηβαίων οἰκτρῶς
[ἠφα]νισμένην ἐξ ἀνθρώπων, τὴν δὲ ἀκρόπολιν αὐτῆς φρου-
ρουμένην ὑπὸ τῶν Μακεδόνων, τὰ δὲ σώματα τῶν ἐνοικούντων

5 *ζῶν* Kayser : *αὐτὸς* Bab. (pro spatio nimium) 6 *πρώτῳ* B *γενομένης* Bab. : *γεγενημένης* nimium fuisset 7 *ἐκείνου* Müller 8 *στρατείᾳ* Bab. 11 *ἀλλὰ* Sauppe *μόνον*] *μεν* 𝕾, corr. Cb., al. 12 *ἐπὶ* Bab. 21 *βούλεσθαι* Bab. 22 *μαχόμενοι* Bab., *-ους* Sauppe, quod spatio minus convenit 23 *Ἑλλάδος* Sauppe : *πατρίδος* Bab., quod pro spatio nimium videtur 24 *πρώτην* Cb. : *προτέραν* Sauppe. *-ρον* Bab. 26 *ἠφανισμένην* Bab. *αὐτῆς*] *εξαυτης* 𝕾, corr. Cb. 27 *δὲ*] *τε* 𝕾, corr. Cb.

ἐξηνδραποδισμένα, τὴν δὲ χώραν ἄλλους διανεμομένους, ὥστε
πρὸ ὀφθαλμῶν ὁρώμενα αὐτοῖς τὰ δεινὰ ἄοκνον παρεῖχε
τόλμαν εἰς τὸ κινδυνεύειν προχείρως.
18 Ἀλλὰ μὴν τήν γε περὶ Πύλας καὶ Λαμίαν μάχην γενο-
μένην οὐχ ἧττον αὐτοῖς ἔνδοξον γενέσθαι συμβέβηκεν ἧς
ἐν Βοιωτοῖς ἠγωνίσαντο, οὐ μόνον τῷ μαχομένους νικᾶν
Ἀντίπατρον καὶ τοὺς συμμάχους, ἀλλὰ καὶ τῷ τόπῳ τῷ
ἐνταυθοῖ γεγενῆσθαι τὴν μάχην. ἀφικνούμενοι γὰρ οἱ Ἕλ-
ληνες ἅπαντες δὶς τοῦ ἐνιαυτοῦ εἰς τὴν Πυλαίαν, θεωροὶ
γενήσονται τῶν ἔργων τῶν πεπραγμένων αὐτοῖς· ἅμα γὰρ
εἰς τὸν τόπον ἀθροισθήσονται καὶ τῆς τούτων ἀρετῆς μνη-
19 σθήσονται. οὐδένες γὰρ πώποτε τῶν γεγονότων οὔτε περὶ
καλλιόνων οὔτε πρὸς ἰσχυροτέρους οὔτε μετ' ἐλαττόνων
ἠγωνίσαντο, τὴν ἀρετὴν ἰσχὺν καὶ τὴν ἀνδρείαν πλῆθος,
ἀλλ' οὐ τὸν πολὺν ἀριθμὸν τῶν σωμάτων εἶναι κρίνοντες.
καὶ τὴν μὲν ἐλευθερίαν εἰς τὸ κοινὸν πᾶσιν κατέθεσαν, τὴν
δ' εὐδοξίαν ἀπὸ τῶν πράξεων ἴδιον στέφανον τῇ πατρίδι
περιέθηκαν.
col. 8] Ἄξιον τοίνυν συλλογίσασθαι καὶ τί ἂν συμβῆναι νομί-
20 ζοιμεν μὴ κατὰ τρόπον τούτων ἀγωνισαμένων. ἆρ' οὐκ ἂν
ἑνὸς μὲν δεσπότου τὴν οἰκουμένην ὑπήκοον ἅπασαν εἶναι,
νόμῳ δὲ τῷ τούτου τρόπῳ ἐξ ἀνάγκης χρῆσθαι τὴν Ἑλλάδα;
συνελόντα δ' εἰπεῖν, τὴν Μακεδόνων ὑπερηφανίαν καὶ μὴ
τὴν τοῦ δικαίου δύναμιν ἰσχύειν παρ' ἑκάστοις, ὥστε μήτε
γυναικῶν μήτε παρθένων μήτε παίδων ὕβρεις ἂν ἐκλεί-
21 πτους ἑκάστοις καθεστάναι. φανερὸν δ' ἐξ ὧν ἀναγκαζόμεθα
καὶ νῦν ἐ[ᾶν]· θυσίας μὲν ἀνθρώποις γιγνομένας ἐφορᾶν,
ἀγάλματα δὲ καὶ βωμοὺς καὶ ναοὺς τοῖς μὲν θεοῖς ἀμελῶς,
τοῖς δὲ ἀνθρώποις ἐπιμελῶς συντελούμενα, καὶ τοὺς ⟨τού⟩των
22 οἰκέτας ὥσπερ ἥρωας τιμᾶν ἡμᾶς ἀναγκαζομένους. ὅπου δὲ

1 διανενεμημένους Cb., B 19 νομίζομεν Kayser, Cb. 22 τούτου] τουτωι 𝔖, corr. Bab. 25 ἂν ἐκλείπτους] verbum ignotum, et locus suspectus; lacunam postulant nonnulli 27 ἐᾶν Caffiaux : ἔχειν Bab., pro spatio nimium: ἤδη Sauppe, B, sed littera prima videtur potius ε esse 29 τους των 𝔖, corr. Cb., S

τὰ πρὸς θεοὺς ὅσια διὰ τὴν Μακεδόνων τόλμαν ἀνῄρηται,
τί τὰ πρὸς τοὺς ἀνθρώπους χρὴ νομίζειν; ἆρ᾽ οὐκ ἂν παν-
τελῶς καταλελύσθαι; ὥστε ὅσῳ δεινότερα τὰ προσδοκώμεν᾽
ἂν γενέσθαι κρίνοιμεν, τοσούτῳ μειζόνων ἐπαίνων τοὺς
τετελευτηκότας ἀξίους χρὴ νομίζειν. οὐδεμία γὰρ στρατεία 23
τὴν ⟨τῶν⟩ στρατευομένων ἀρετὴν ἐνεφάνισεν μᾶλλον τῆς νῦν
γεγενημένης, ἐν ᾗ γε παρατάττεσθαι μὲν ὁσημέραι ἀναγκαῖον
ἦν, πλείους δὲ μάχας ἠγωνίσθαι διὰ μιᾶς στρατείας ἢ τοὺς
ἄλλους πάντας πληγὰς λαμβάνειν ἐν τῷ παρεληλυθότι χρόνῳ, [col. 9
χειμώνων δ᾽ ὑπερβολὰς καὶ τῶν καθ᾽ ἡμέραν ἀναγκαίων
ἐνδείας τοσαύτας καὶ τηλικαύτας οὕτως ἐγκρατῶς ὑπομεμε-
νηκέναι, ὥστε καὶ τῷ λόγῳ χαλεπὸν εἶναι φράσαι.

Τὸν δὴ τοιαύτας καρτερίας ἀόκνως ὑπομεῖναι τοὺς πολίτας 24
προτρεψάμενον Λεωσθένη, καὶ τοὺς τῷ τοιούτῳ στρατηγῷ
προθύμως συναγωνιστὰς σφᾶς αὐτοὺς παρασχόντας, ἆρ᾽ οὐ
διὰ τὴν τῆς ἀρετῆς ἀπόδειξιν εὐτυχεῖς μᾶλλον, ἢ διὰ τὴν
τοῦ ζῆν ἀπόλειψιν ἀτυχεῖς νομιστέον; οἵτινες θνητοῦ σώ-
ματος ἀθάνατον δόξαν ἐκτήσαντο, καὶ διὰ τὴν ἰδίαν ἀρετὴν
τὴν κοινὴν ἐλευθερίαν τοῖς Ἕλλησιν ἐβεβαίωσαν. φέρει 25
γὰρ οὐδὲν εὐδαιμονίαν ἄνευ τῆς αὐτονομίας. οὐ γὰρ ἀνδρὸς
ἀπειλήν, ἀλλὰ νόμου φωνὴν κυριεύειν δεῖ τῶν εὐδαιμόνων,
οὐδ᾽ αἰτίαν φοβερὰν εἶναι τοῖς ἐλευθέροις, ἀλλ᾽ ἔλεγχον,
οὐδ᾽ ἐπὶ τοῖς κολακεύουσιν τοὺς δυνάστας καὶ διαβάλλουσιν
τοὺς πολίτας τὸ τῶν πολιτῶν ἀσφαλές, ἀλλ᾽ ἐπὶ τῇ τῶν
νόμων πίστει γενέσθαι. ὑπὲρ ὧν ἁπάντων οὗτοι πόνους 26
πόνων διαδόχους ποιούμενοι, καὶ τοῖς καθ᾽ ἡμέραν κινδύνοις
τοὺς εἰς τὸν ἅπαντα χρόνον φόβους τῶν πολιτῶν καὶ τῶν
Ἑλλήνων παραιρούμενοι, τὸ ζῆν ἀνήλωσαν εἰς τὸ τοὺς
ἄλλους καλῶς ζῆν. διὰ τούτους πατέρες ἔνδοξοι, μητέρες 27

4 *κρίνομεν* Kayser, Cb. 6 *τῶν* add. Bab. 7 *γε*] *τε* 𝕾, corr. Bab. 9 *πληγὰς λαμβάνειν*] locum suspectum habent edd.; potest tamen hyperbole esse 11 *υπερμεμνηκεναι* 𝕾 20 *οὐδὲν*] *πασαν* 𝕾 : ⟨*οὐδὲν*⟩ *πᾶσαν* Fritzsche, alii alia *αυτονομειας* 𝕾, corr. Sauppe 24 *πολιτῶν*] *πολλῶν* Cb. 29 *τούτους*] *τουτουτους* 𝕾, corr. Bab.

περίβλεπτοι τοῖς πολίταις γεγόνασι, ἀδελφαὶ γάμων τῶν
προσηκόντων ἐννόμως τετυχήκασι καὶ τεύξονται, παῖδες
ἐφόδιον εἰς τὴν πρὸς τὸν δῆμον ε[ὔνοι]αν τὴν τῶν οὐκ ἀπο-
col. 10] λωλότων ἀρετήν, οὐ γὰρ θεμιτὸν τούτου τοῦ ὀνόματος τυχεῖν
τοὺς οὕτως ὑπὲρ καλῶν τὸν βίον ἐκλιπόντας, ἀλλὰ τῶν τὸ
28 ζῆν εἰς αἰώνιον τάξιν μετηλλαχότων ἕξουσιν. εἰ γὰρ [ὁ
τοῖ]ς ἄλλοις ὢν ἀνιαρότατος θάνατος τούτοις ἀρχηγὸς μεγά-
λων ἀγαθῶν γέγονε, πῶς τούτους οὐκ εὐτυχεῖς κρίνειν δίκαιον,
ἢ πῶς ἐκλελοιπέναι τὸν βίον, ἀλλ᾽ οὐκ ἐξ ἀρχῆς γεγονέναι
καλλίω γένεσιν τῆς πρώτης ὑπαρξάσης; τότε μὲν γὰρ παῖδες
29 ὄντες ἄφρονες ἦσαν, νῦν δ᾽ ἄνδρες ἀγαθοὶ γεγόνασιν. καὶ
τότε μὲν ἐν πολλῷ χρόνῳ καὶ διὰ πολλῶν κινδύνων τὴν
ἀρετὴν ἀπέδειξαν· νῦν δ᾽ ἀπὸ ταύτης *ἀρξαμένους ὑπάρχει*
γνωρίμους πᾶσι καὶ μνημονευτοὺς διὰ ἀνδραγαθίαν γεγονέναι.
30 τίς ⟨γὰρ⟩ καιρὸς ἐν ᾧ τῆς τούτων ἀρετῆς οὐ μνημονεύσομεν;
τίς τόπος ἐν ᾧ ζήλου καὶ τῶν ἐντιμοτάτων ἐπαίνων τυγχά-
νοντας οὐκ ὀψόμεθα; πότερον οὐκ ἐν τοῖς τῆς πόλεως ἀγα-
θοῖς; ἀλλὰ τὰ διὰ τούτους γεγονότα τίνας ἄλλους ἢ τούτους
ἐπαινεῖσθαι καὶ μνήμης τυγχάνειν ποιήσει; ἀλλ᾽ οὐκ ἐν ταῖς
ἰδίαις εὐπραξίαις; ἀλλ᾽ ἐν τῇ τούτων ἀρετῇ βεβαίως αὐτῶν
31 ἀπολαύσομεν. παρὰ ποίᾳ δὲ τῶν ἡλικιῶν οὐ μακαριστοὶ
col. 11] γενήσονται; [πότερον οὐ πα]ρὰ τοῖς γ[εραιτέροις, οἳ ἄ]φοβον
ἄ[ξειν τὸν λοιπὸν] βίον κα[ὶ ἐν τῷ ἀσφαλεῖ] γεγενῆσ[θαι
ἡγήσονται] διὰ τούτ[ους; ἀλλ᾽ οὐ παρὰ τοῖς] ἡλικιώτ[αις;
ἀλλὰ τούτων] τελευτησ[άντων ἐν τῇ μάχῃ] καλῶς ἀ[δεέ-
στερον αὐτοῖς] παρὰ πο[λὺ τῷ βίῳ χρῆσθ]αι γέγον[εν;
32 ἀλλ᾽ οὐ παρὰ τοῖς] νεωτέρο[ις καὶ παισίν; ἔπει]τα οὐ τὸν
[θάνατον ζηλώσου]σιν αὐτ[ῶν, καὶ αὐτοὶ σπου]δάσουσιν [μι-

3 εὔνοιαν Cb. 6–7 ὁ τοῖς Cb. 7 ανειροτατος 𝔖, corr. Bab. 12 ἐν πολλῷ] πολλων 𝔖, corr. Bab. 13 ἀπεδείξαντο Cb. αξαθαι 𝔖: ὑπάρχει εὐθὺς Cb., alii alia 15 γὰρ add. Cb. 22 sqq. Supplementa non nisi exempli gratia, ubi sententia satis certa videtur, adhibentur 22–24 πότερον . . . ἡλικιώταις] B secutus sum, alii alia 25–26 supplevi 25 ἀδεέστερον] α potius quam ω vel ο legendum videtur 27 sqq. ἀλλ᾽ οὐ παρὰ . . . ἐγκωμιασθήσεται] suppl. B

μεῖσθαι ὡς πα]ράδειγμ[α τὸν τούτων βίον, ἀνθ᾽]οῦ τὴν ἀ[ρετὴν
καταλελοί]πασι; οὐκ[οῦν ἄξιον εὐδαιμονί]ζειν αὐ[τοὺς ἐπὶ 33
τοσαύτῃ τι]μῇ; τίνε[ς δὲ ποιηταὶ καὶ φιλόσο]φοι λό[γων καὶ
ᾠδῶν εἰς τοὺς]῞Ελλην[ας ἀπορήσουσι περὶ] τῶ[ν πεπραγμένων
αὐτοῖς;] παρὰ τίσ[ι δ᾽ οὐ μᾶλλον αὕτη τῆς] Φρυγῶν κ[ρατη-
σάσης στρα]τείας ἐγ[κωμιασθήσεται; πανταχοῦ] δὲ τῆς
῾Ελ[λάδος ἐξέσται ταῦ]τα τοῖς ἐ[πιγιγνομένοις] ἅπασιν κ[αὶ
λόγοις καὶ ᾠ]δαῖς ἐπα[ινεῖσθαι. δι᾽ ἀμφό]τερα γὰρ ἔ[στιν 34
ὑμνῆσαι τὰ] περὶ Λεωσ[θένους τ᾽ αὐτοῦ] καὶ τῶν τ[ελευτη-
σάντων ἅμα] ἐν τῷ πολ[έμῳ. εἰ μὲν γὰρ] ἡδονῆς ἕν[εκεν
μνημονεύ]ουσιν τὰς τ[οιαύτας καρ]τερίας, τί γέ[νοιτ᾽ ἂν τοῖς
῞Ελ]λησιν ἥδι[ον ἢ ἔπαινος τῶν] τὴν ἐλευθερί[αν παρα-
σκευα]σάντων ἀ[πὸ τῶν Μακεδό]νων; εἰ δὲ [ὠφελείας ἕνε]κεν
ἡ τοια[ύτη μνήμη] γίγνεται, τίς ἂν λόγος ὠφελήσειεν μᾶλλον [col. 12
τὰς τῶν ἀκουσόντων ψυχὰς τοῦ τὴν ἀρετὴν ἐγκωμιάσοντος
καὶ τοὺς ἀγαθοὺς ἄνδρας;

᾿Αλλὰ μὴν ὅτι παρ᾽ ἡμῖν καὶ τοῖς λοιποῖς πᾶσιν εὐδο- 35
κιμεῖν αὐτοὺς ἀναγκαῖον, ἐκ τούτων φανερόν ἐστιν· ἐν ῞Αιδου
δὲ λογίσασθαι ἄξιον, τίνες οἱ τὸν ἡγεμόνα δεξιωσόμενοι τὸν
τούτων. ἆρ᾽ οὐκ ἂν οἰόμεθα ὁρᾶν Λεωσθένη δεξιουμένους
καὶ θαυμάζοντας τῶν *διηγημένων καὶ ὑμνουμένων* τοὺς ἐπὶ
Τροίαν στρατεύσαντας, ὧν οὗτος ἀδελφὰς πράξεις ἐνστησά-
μενος τοσοῦτον διήνεγκε, ὥστε οἱ μὲν μετὰ πάσης τῆς
῾Ελλάδος μίαν πόλιν εἷλον, ὁ δὲ μετὰ τῆς ἑαυτοῦ πατρίδος
μόνης πᾶσαν τὴν τῆς Εὐρώπης καὶ τῆς ᾿Ασίας ἄρχουσαν
δύναμιν ἐταπείνωσεν. κἀκεῖνοι μὲν ἕνεκα μιᾶς γυναικὸς 36

5 τίσι B, sed 𝔖 potius πο habere videtur (sc. παρὰ πολὺ δὲ) 6–10 πανταχοῦ . . . ἅμα plerumque supplevi 7–8 καὶ λόγοις καὶ ᾠδαῖς Cb. 8 δι᾽ ἀμφότερα B 10–14 εἰ μὲν γὰρ . . . τοιαύτη μνήμη] suppl., B post Cb. 15 ἀκουσόντων . . . ἐγκωμιάσοντος] utrumque dubium, illud paene inauditum ; sed pueri stolidi (qualis is fuit qui hunc rotulum scripsit) vix est duos huiusmodi errores facere : ἀκουόντων . . . ἐγκωμιάζοντος Sauppe, alii 20 ὁρᾶν] οταν 𝔖, corr. Bab. : φοιτᾶν Cb., B 21 τωνδεηγορμενωνκαλουμενους 𝔖 : διηγεῖσθαι fortasse passive usurpatur, ut apud Platonem περιηγεῖσθαι: τῶν ἡμιθέων καλουμένων Cb. 21–22 τοὺς . . . στρατεύσαντας] τους επι στρατειαν στρασαντας 𝔖, corr. Bab.

ὑβρισθείσης ἤμυναν, ὁ δὲ πασῶν τῶν Ἑλληνίδων τὰς ἐπι-
φερομένας ὕβρεις ἐκώλυσεν, μετὰ τῶν συνθαπτομένων νῦν
αὐτῷ ἀνδρῶν, τῶν μετ' ἐκείνους μὲν γεγενημένων, ἄξια δὲ
37 τῆς ἐκείνων ἀρετῆς διαπεπραγμένων. λέγω δὴ τοὺς περὶ
col. 13] Μιλτιάδην καὶ Θεμιστοκλέα καὶ τοὺς ἄλλους, οἳ τὴν Ἑλλάδα
ἐλευθερώσαντες ἔντιμον μὲν τὴν πατρίδα κατέστησαν, ἔνδοξον
38 ⟨δὲ⟩ τὸν αὑτῶν βίον ἐποίησαν, ὧν οὗτος τοσοῦτον ὑπερέσχεν
ἀνδρείᾳ καὶ φρονήσει, ὅσον οἱ μὲν ἐπελθοῦσαν τὴν τῶν
βαρβάρων δύναμιν ἠμύναντο, ὁ δὲ μηδ' ἐπελθεῖν ἐποίησεν.
κἀκεῖνοι μὲν ἐν τῇ οἰκείᾳ τοὺς ἐχθροὺς ἐπεῖδον ἀγωνιζομέ-
νους, οὗτος δὲ ἐν τῇ τῶν ἐχθρῶν περιεγένετο τῶν ἀντιπάλων.
39 Οἶμαι δὲ καὶ ⟨τοὺς⟩ τὴν πρὸς ἀλλήλους φιλίαν τῷ δήμῳ
βεβαιότατα ἐνδειξαμένους, λέγω δὲ Ἁρμόδιον καὶ Ἀριστο-
γείτονα, οὐδαμῶς αὐτοὺς οἰκειοτέρους ὑμῖν εἶναι νομίζειν, ἢ
Λεωσθένη καὶ τοὺς ἐκείνῳ συναγωνισαμένους, οὐδ' ἔστιν οἷς
ἂν μᾶλλον ἢ τούτοις πλησιάσειαν ἐν Ἅιδου. εἰκότως· οὐκ
ἐλάττω γὰρ ἐκείνων ἔργα διεπράξαντο, ἀλλ' εἰ δέον εἰπεῖν,
καὶ μείζω. οἱ μὲν γὰρ τοὺς τῆς πατρίδος τυράννους κατέ-
40 λυσαν, οὗτοι δὲ τοὺς τῆς Ἑλλάδος ἁπάσης. ὢ καλῆς μὲν
καὶ παραδόξου τόλμης τῆς πραχθείσης ὑπὸ τῶνδε τῶν ἀνδρῶν,
ἐνδόξου δὲ καὶ μεγαλοπρεποῦς προαιρέσεως ἧς προείλοντο,
ὑπερβαλλούσης δὲ ἀρετῆς καὶ ἀνδραγαθίας τῆς ἐν τοῖς κιν-
δύνοις, ἣν οὗτοι παρασχόμενοι εἰς τὴν κοινὴν ἐλευθερίαν
τῶν Ἑλλήνων . . . . .

* * *

41 Χαλεπὸν μὲν ἴσως ἐστὶ τοὺς ἐν τοῖς τοιούτοις ὄντας
πάθεσι παραμυθεῖσθαι. τὰ γὰρ πένθη οὔτε λόγῳ οὔτε νόμῳ
κοιμίζεται, ἀλλ' ἡ φύσις ἑκάστου καὶ φιλία πρὸς τὸν τελευ-
τήσαντα ⟨τὸν⟩ ὁρισμὸν ἔχει τοῦ λυπεῖσθαι. ὅμως δὲ χρὴ

7 δὲ add. Bab. 12 τοὺς add. Bab. 14 οὐδαμῶς κτλ.] locus corruptus: *ουθενους· ουτως αυτους οικειοτερους υμειν ειναι νομιζειν ως Λ.* 𝔖; sententiam non dubiam alii aliis modis restituerunt 24 Ἑλλήνων] hic desinit rotulus; epilogus autem apud Stobaeum (Flor. 124, 36) servatus est 28 τὸν addidit Sauppe

θαρρεῖν καὶ τῆς λύπης παραιρεῖν εἰς τὸ ἐνδεχόμενον, καὶ
μεμνῆσθαι μὴ μόνον τοῦ θανάτου τῶν τετελευτηκότων, ἀλλὰ
καὶ τῆς ἀρετῆς ἧς καταλελοίπασιν. οὐ γὰρ θρήνων ἄξια 42
πεπόνθασιν, ἀλλ' ἐπαίνων μεγάλων πεποιήκασιν. εἰ δὲ
γήρως θνητοῦ μὴ μετέσχον, ἀλλ' εὐδοξίαν ἀγήρατον εἰλή-
φασιν, εὐδαίμονές τε γεγόνασι κατὰ πάντα. ὅσοι μὲν γὰρ
αὐτῶν ἄπαιδες τετελευτήκασιν, οἱ παρὰ τῶν Ἑλλήνων ἔπαινοι
παῖδες αὐτῶν ἀθάνατοι ἔσονται. ὅσοι δὲ παῖδας καταλελοί-
πασιν, ἡ τῆς πατρίδος εὔνοια ἐπίτροπος αὐτοῖς τῶν παίδων
καταστήσεται. πρὸς δὲ τούτοις, εἰ μέν ἐστι τὸ ἀποθανεῖν 43
ὅμοιον τῷ μὴ γενέσθαι, ἀπηλλαγμένοι εἰσὶ νόσων καὶ λύπης
καὶ τῶν ἄλλων τῶν προσπιπτόντων εἰς τὸν ἀνθρώπινον βίον·
εἰ δ' ἔστιν αἴσθησις ἐν Ἅιδου καὶ ἐπιμέλεια παρὰ τοῦ δαι-
μονίου, ὥσπερ ὑπολαμβάνομεν, εἰκὸς τοὺς ταῖς τιμαῖς τῶν
θεῶν καταλυομέναις βοηθήσαντας πλείστης κηδεμονίας ὑπὸ
τοῦ δαιμονίου τυγχάνειν. . . .

1 παραιρεῖν Gesner: παραινεῖν codd. 3 οὐ] εἰ Leopardi, B 14 εἰκὸς Toup, Cb.: εἶναι vel εἴη codd. 15 κηδεμονίας Ruhnken: ἐπιμελείας vel εὐδαιμονίας codd.

APPENDIX

Fragmenta Orationis II (in Philippidem).

ROTVLI in quo pars ultima orationis Philippideae servatur multa etiam partis prioris fragmenta restant. Quae cum plerumque paucissimae sint neque continuum tenorem praebeant, a ratione huius editionis alienae videntur. Nonnulla tamen, quae paullo maiora sunt, operae pretium est hic imprimere, numeris iisdem affixis quos in editione mea priore habebant.

1. A capite columnae.

. . . . ἐλευθέρα πό[λις . .
. . . τ]οῖς τυράννοις . . . .
. . . . ντα πραττον[τ . . .
. . . . ν εἰς δουλεία[ν . . .

2. Fragmenta tria composui, quibus quartum (quod nonum in editione mea fuit) addidit B, primum autem dempsit.

. . . . . η . . . . .
. . . . γα . . . . .
. . . . το . . . . .
. . . . σμοι κατ . . . .
. . . . ν τῶν ψηφ[ισμάτων
. . . ἐ]κεῖνο κ . . . .
. . . . πάντα . . . . . ρον . . .
. . . . ν. σὺ δὲ . . . . ἡμᾶς α . .
. . . . δικαστ . . . ἀπαιτ . . .

. . . . ους ηλω . . . παντὸ[ς . .
. . . . δικα . . . . [᾿Α]θῆναι . . .
. . . . αλλο . . . . ναι χάριν
. . . . . σωτ . . . . ις π[α]ρα
. . . . τι σοι . . [χ]άριτας
. . . . ταστ . . . . εἰλήφοι
. . . . νιασε . . [πο]λειτίαν
. . το]ῦ δήμ[ου . . . . .]ν
. . . . οὐκ . . . . . . ωι
. . . . ε
. . . . ην
. . . . ν

3. A capite columnae.

. . . . τα πρ . . . .
. . . . ερ αυ . . . .

4. Duo fragmenta, a capite, ut videtur, eiusdem columnae.

συμβαίνει μ . . . ρο . . .
. . . . λ̣αμ . .
. . . . π̣ομ . .
. . . . οσε . .
. . . . και . . .
. . . . ισ . . . .

5. Nunc cum frag. 8 coniunctum est.

6. Initia versuum, fortasse ex eadem columna atque fragg. 4, 7, 8.

[κα]ὶ τοῖς Ἕλλη[σιν ἐξε]-
γένετο̣. τὸ γ[ὰρ . . . . . .
παρ᾿ ἡμεῖν κα[ὶ παρὰ τοῖς]
ἄλλοις πᾶσιν [. . . . . .
τῶν δωρεῶ[ν . . . .

[δ]ικαίως [
[γ]ὰρ . . ὑπο

7.

. . . . ριας ε . . . .
. . . . νου το . . . .

8. A capite columnae, cum finibus versuum. Fragmentum hoc e tribus compositum est; namque ei quod olim octavum fuit quintum addidit B. et his accedit aliud novum quod partes vv. 3–7 habet. Vv. 8–11 supplevit B.

. . . . μιᾷ πόλει
. . . . μιν
. . . ας ἀνάγκηι
. . . τ]ῶν ἐπιθυ-
[μιῶν . . . .] ἐφ' ἑκάστωι
]πιαις ὀνει-
[δ. . . . .]ειν [. . . .]ν
[. . . ἔ]δει χάρι[ν ἡμᾶ]ς ἀ-
[ποδ]ιδόναι 'Αλεξ[άνδ]ρωι
[διὰ τοὺ]ς τελευτή[σαντ]ας
[ἡμῶν]. ἐγὼ δὲ . . . . . ν .

9. Nunc cum frag. 2 coniunctum est.

10. A capite columnae proximae post frag. 8 sequentis, ut docent fibrae papyraceae. Composuit et plerumque restituit B.

ἐκεῖνος. ἔπ[ε]ιθ' [οὗτοι]
ἐπεμβαίνουσιν τ[ῶι δή]-
μωι ἐν ταῖς ἀτυχ[ίαις. ᾗι]-
περ καὶ πολὺ μᾶ[λλον ἄξι]-
οί εἰσιν μεισεῖσθ[αι· ὥσ]-

περ γὰρ τὰ σώματ[α πλείσ]-
της ἐπ[ιμ]ελείας ἐ[ν ταῖς]
ἀρρωσ[τία]ις [δ]εῖται, οὕ-
τως καὶ [αἱ] π[ό]λεις πλείσ-
της θερ[απ]εί[ας] ἐν ταῖς ἀ-
τυχίαις δ[έο]ντ[αι]. μόνοις
[δ]ὲ τούτ[οις . . . .] ο
] ν

6 πλείστης] μεγίστης B

11. Initia versuum.

μοκρ . . . .
λα περ . . .
ρει φιλι . . .
τευσατ . . .
τὴν χ . . .
τοῦτο δ[. . . . . Φι]-
λιππο . . .
σατο ἐφ[. . . . . συμ]-
μάχους [. . . . . . . ἀκρι]-
βῶς γε . . .

1 Fortasse δημοκρατία, ut B, qui etiam alia in hoc fr. temptavit
3-4 Fortasse Φίλιππος . . . ἐστρατεύσατο

12.

. . . . ου . . . .
. . . . νιν . . . .
. . . . του . . . .

13.

. . . τοις . . .
. . . ου δι . . .
. . . . ο . . . .
. . . . θρ . . . .

14.

. . . . θ̣ο . . . .
. . . . νναι . . . .
. . . . ομη . . . .
. . . . ουτ . . . .
. . . . ειν . . . .

15. Columnae duae, quarum lacera fragmenta hic dantur, post frag. 10, ut videntur, proximae sunt, eaedemque proximae ante partem orationis quae continuo tenore servata est et iam antea impressa est. Composuit plerumque B.

Col. *a*] β . . . ν ἕκαστος αὐτῶν,
ὁ μ[ὲ]ν ἐν Θ[ή]β]αις, ὁ δ' ἐν
Τα[νά]γραι, ὁ [δ'] ἐν τῆι 'Ελευ-
θε[ρίδι . . . . . .]ατα τῶν
. . . . των. η
. . . . κρατησαν
. . . . ον τὴν
. . . . τες. καὶ
. . . . αιων τα
. . . ει του
. . . χοντες
. . . ωχεν
. . . νος
. . . να
. . . ς ἐξ
. . . ουσε
. . . αν
. . . ω
. . . ειρι
. . . ε

3–4 ἐλευθέρᾳ B

. . . τον
. . . . .
. . . . .
. . . κτη . . . υς
. . . νειν . . . ς
. . . ου . . . ἀ-

Col. *b*] παλλα[γέ]ντα, ἢ οὐκ εὔχεσ-
θαι κα[ὶ τ]ἆλλα πάντα τὰ
ἐν τῆι [Ἑλ]λάδι ἀνατραπῆ-
ναι, οἵ γ' ἀπὸ τῶν ἀναι-
ρουμένων πό[λ]εων ἀπαρ-
χὰ[ς λαμβά]νουσιν. καὶ ὑ-
μ . . . . . . ει βούλ[ε]σθαι ἐν
φ[όβωι καὶ κ]ινδύνοις εἶ-
ν[αι] . . . . αναβ . . .
αι . . . . ν . ουν . . .
τ . . . . ντα . . . .
μ . . . . ολε . . .
μ . . . . ν μ . . . . .
κα . . . .
. . . .
β . . . . . . μιν ἤδη ρι . . .
τ . . . . . [ἀ]κρειβεῖ δ' ἀ . . .
αζω . . . . . . ματα . . . . .
σοῦ δ' . . . . . . ν ποτερ . . .
μεις . . . . . . λασ . μω . . .
οιει . . . .
ηγων . . . .
μι αὐτ . . . .
ως πα . . . .
οι αυτω . . . .
νων τ . . . .

Sunt praeterea fragmenta alia nondum edita plus quam quinquaginta, quorum exempli gratia nonnulla hic dabuntur.

16. Initia versuum.

κευασ . . . .
τον κ . . . .
τωι λοι . . . .

17.

. . . προτερ . . .
. . . ων οικ . . .
. . . ωι με . . . .

18.

. . . . με . . .
. . . . γενετο . . .
. . . δε αμφο[τερ . .
. . . πτη . . . .

19.

. . . δε εξ . . .
. . . πραξε . . .
. . . ωπο . . . .

20.

. . . ἀ]κύρους πο[ιεῖν . . .

Cetera vel minora sunt, neque plus quam litteras duas tresve exhibent, neque aliquid ad textum reficiendum profectura esse videntur.

